" φη, εἰπεῖν, ἔχων τοσαῦτα χρήματα, ὡς δισχιλίας δραχμὰς ὁ τούτων πατὴρ κατέλιπε, καὶ τε-
" σσαράκοντα στατῆρας; ἆρα ἐμοὶ καταλῃφθέντα ἐκείνῳ τελευτήσαντος· ἐξέσχας δυνατειδοῦς ὢν- 20
" τας ἐκ τῆς οἰκίας τῆς αὐτῶν ἐν πενθωνίοις, ἀνυποδέτους, ἢ μὴ ἀκολούθου, ἢ μὴ τροφάτων,
" ἢ μὴ ἱματίων, ἢ μὴ τῶν ὀπλων, ἃ ὁ πατὴρ αὐτοῖς κατέλιπεν, οὐδὲ μὴ τῶν ἀργυραθη-
" κῶν, ἃς ἐκεῖνος ἀργὰ σοι κατέθετο. καὶ νῦν οἷς μὲν ἐκ τῆς μητρυιᾶς τῆς ἐμῆς παιδούμ ἐν πολ-
" λοῖς χρήμασιν ἀνδαίμονας ὁρᾶς· καὶ ταῦτα μὲν καλῶς ποιεῖς· τὰς δ' ἐμὰς ἀδικεῖς, ἃς ἀτίμως
" ἐκ τῆς οἰκίας ἐκβαλὼν, αὐτὴ πλουσίων τοσούτων ἀπεδείξω τροφήν. καὶ ὅτι τοιοῦτος ἦρ-
" χεις ἅτε οἷς θεὸς φοβῇ, ἅτε ἐμὲ τὸν σὸν συγκατέρα αἰσχύνῃ, ἅτε τὸν ἀδελφοῦ μέμψασ, ἀλλὰ
" πολλῷ μᾶλλον τοῖς ἐλάττονος ποιῇ χρημάτων. τότε μὲν οὖν, ὦ ἄνδρες δικασταί, πολλὰ καὶ δει-
" νὰ ὑπὸ τῆς γυναικὸς ῥηθέντων, ἅτε διετέθημεν οἱ παρόντες ὑπὸ τοῦ τότε πεπεισμέ-
" νων, καὶ τῶν λόγων ἃ ἐκείνης, ὁρῶντες μὲν τὰς παῖδας οἵας ἦσαν πεπονθότας, ἀναμιμνησκόμενοι
" ὧν τὸν ἀποθανόντος, ὡς ἀνάξιον τῆς οὐσίας τὸν ὀπίζοπον κατέλιπεν, ἐνθυμούμενοι δὲ ὡς χαλε- 30
" πὸν ἐξέλυρφν ὅτῳ χρὴ τοῦ ἑαυτῆς πιστὰ ὕσαι τινά· ὥστε, ὦ ἄνδρες δικασταί, μηδένα ἂν πα-
" ρόντων δυνάσθαι φθέγξασθαι, μηδὲ καὶ δακρύοντας μηδὲν ἧττον τῶν πεπονθότων, ἀπιόντας οἴ-
" καδε σιωπῇ. ἵνα δὲ καὶ ὁ τῶν ἀποδείξεων χαρακτὴρ καταφανὴς γένηται, θήσω καὶ τὰ ὀπὶ τά-

ἀποδείξεων ἤγουν πίστεων τοῦτο σημαίνει.

τοις λεγόμενα. ταῦτα μὲν οὖν ἰδίας πίστεως, ὡς ἂν πολλαὶ ἐπὶ λόγων δεομέναι, δι' αὐτῶν βεβαιῶσαι
τοῦ μαρτύρων, οὐδὲν ἕτερον ἢ τοῦτο εἰπών· Πρῶτον μὲν οὖν τούτων ἀκούσατέ μοι μαρτύρες.
τὰ δὲ ἀντιδίκου δίκαια διελθεῖν νείμας, ὡς τὰ μὲν ὁμολογήσαντος αὐτοῦ λαβεῖν, καὶ εἰς ταῦτα ἔφασ τὸ
ὀρφανῶν ἀνηλωκέναι σκηψαμένου, τὰ δὲ ἐξαίρνης ψηφίσματος εἰληφέναι, καὶ πειτα ἐλεγθέντος,
ὡσπερ ἀμφοτέρων ποιήσαι τὸν λόγον· ταῦτα δὲ δικαιότατα ἐγὼ αἰτοῦμαι τὰ λεγόμενα,
" καὶ τοῦ τῶν ἀμφιβόλων ταῦτα πίστεως ἀποδιδοῦς· Ἀξιῶ τοίνυν, ὦ ἄνδρες δικασταί, τὰ λογι-
" σμῶν τοσούτων ἐν τὸν νοῦν, ἵνα τοῖς μὲν νεανίσκοις ᾖ τὸ μέγεθος τῶν συμφορῶν ἐλεήσητε, τοῦτον 40
" δ' ἅπασι τοῖς πολίταις ἄξιον ὀργῆς ἡγήσασθε. εἰς τοσαύτην δ' ὑπονοίαν Διογείτων πρώτος
" αὐθεφπους εἰς ἀνήλους καθίσησιν, ὥστε μηδὲ ζῶντας, μηδὲ ἀποθνήσκοντας, μηδὲν μᾶλλον
" τοῖς οἰκειοτάτοις ἢ τοῖς ἐχθίστοις πιστεύειν· ὃς ἐτόλμησε τὰ μὲν ἔξαρνος ὀμνύναι, τὰ δ' τελευτῶν
" ὁμολογήσας, ἐλθεῖν εἰς δύο παῖδας καὶ ἀδελφοῦ, λῆμμα καὶ ἀνάλωμα ἐν ὀκτὼ ἔτεσιν, ἑκατὸν τὰ
" τάλαντα ἀργυρίου, καὶ ἑπτακισχιλίας δραχμὰς ἀποδείξας· καὶ εἰς τοῦτο ἦλθεν ἀναισχυντίας,
" ὥστε οὐκ ἔχων ὅπου τρέψῃ τὰ χρήματα, εἰς ὄψον μὲν δυοῖν παιδίοιν καὶ ἀδελφῆ, πέντε ὀβο-
" λοὺς τῆς ἡμέρας ἐλογίζετο· εἰς δὲ ἱματισμὸν δ', καὶ εἰς γναφέον ἰμάτια, καὶ εἰς κουρέα, οὐκ ἐῶ
αὐτὰ

" αὐτὰ καὶ μίαν οὐδὲ κατ' ἐνιαυτὸν γεγραμμένα, συλλήβδην δ' πάντος τῆς χρόνου, πλέον ἢ
" τάλαντον ἀργυρίου. εἰς δὲ τὸ μίσημα τῶν παίδων οὐκ ἀνάλωσας πέντε καὶ εἴκοσι μνᾶς, οὐ πεν-
" ταισχιλίων δραχμῶν, ὃ μόνον ἤμισυ αὐτῶν τίθησι Διογείτους λελογίσθαι. εἰς Διονύσια δίνου, ὦ 112
" ἄνδρες δικασταί· οὐκ ἄτοπον γὰρ μοι δοκεῖ καὶ τοῦτο μισθῶσαι· ἐκκαίδεκα δραχμῶν
" ἀπέφαινεν ἐωνημένον χρίνον· καὶ τούτων τὰς ὀκτὼ δραχμὰς ἐλογίζετο τοῖς παισίν· ἐφ' ὧν ἡ-
" μεῖς οὐχ ἥκιστα ὠργίσθημεν. οὕτως, ὦ ἄνδρες, οὐ ταῖς μεγάλαις ζημίαις οἰόμενοι τοὺς ἀδικοῦντας
" μᾶλλον λυπεῖσθαι τοῖς ἀδικουμένοις. λίαν γὰρ φανερὰν τὴν πονηρίαν τῶν ἀδικούντων ὑπιδείκνυσιν.
" εἰς δίνου τὰς ἄλλας ἑορτὰς καὶ θυσίας ἐλογίσατο αὐτοῖς πλέον ἢ τεσσαρακισχιλίας δραχμὰς, ἀνη-
" λωμένας, ἑτερά τε πάμπολλα, καὶ ὡς τὸ κεφάλαιον συνελογίζετο· ὥσπερ ὄφλε ὅτῳ ὑπόδοπος
10 " τὰ παίδων καταλῃφθείς, ἵνα γράμματα αὐτοῖς αὐτὰ τὰ χρημάτων ἀποδείξῃ, καὶ πενεστάτοις αὐτὰ
" πλουσίων ἀποφήνῃ, καὶ ἵνα εἰ μήν τις αὐτοῖς πατρικὸς ἐχθρὸς ἦν, ἐκείνῳ μὲν ὑπιλαθωνται, ἐμοὶ
" δ', ἐπεὶ τὰ παρόντα εἰσὶν ἀπεστερημένοι, πολεμῶσι. καίτοι εἰ ἐβούλετο δίκαιος εἶ καὶ τοῖς παῖ-
" δας, ἐξὸν αὐτοῦ καὶ τοῖς νόμοις οἷς κεῖνται καὶ τῶν ὀρφανῶν, καὶ τοῖς ἀδυνάτοις τὰ ὑπόντων,
" καὶ τοῖς δυναμένοις μισθῶσαι τὸν οἶκον, ἀπηλλαγμένοις πολλῶν πραγμάτων, ἢ ἐμοὶ πρια-
" μένοις, οὐκ ἂν τοσούτοις τοῖς παῖδας ἔδεφν· καὶ ὁπότερον τούτων ἐποίησεν, οὐδενὸς ἂν ἧττον
" Ἀθηναίων πλούσιοι ἦσαν. νυνὶ δέ μοι δοκεῖ οὐδὲ πώποτε Δημονοθένην ὡς φανερὰν καταστή-
" σων τὴν οὐσίαν, ἀλλ' ὡς αὐτὸς ἔζων τὰ τούτων ἡγούμενος δεῖν τὴν αὐτὴν πονηρίαν κληρονόμον
" εἶ τῶν τὲ τεθνεώτος χρημάτων. ὁ δὲ πάντων δικαιότατον, ὦ δικασταί· οὗτ' γὰρ, σωτεκ-
" ραρχῶν Ἀλέξιδι τὰ Ἀεισθένους, φάσκων δυοῖν δεούσας πεντήκοντα μνᾶς ἐκείνῳ συμβεβλέσθαι,
20 " ὃ ἥμισυ τούτων τοῖς ὀρφανοῖς ὧσι λελογίσθαι, ὃς ἡ πόλις ἐμόνον παῖδας ὀίτας, ἀτελῆς ἐποίη-
" σεν, ἀλλὰ καὶ ἐπειδὴ δοκιμασθῶσιν, ἐνιαυτὸν ἀφῆκεν ἁπασῶν τῶν λῃτουργιῶν. οὗτος δὲ, πάππος
" ὤν, καὶ τοῖς νόμοις, τῆς ἑαυτοῦ τεπραρχίας καὶ τῶν δυνατειδῶν ὃ ἥμισυ καὶ πεπαίπεται. καὶ
" ἀποπεμπας εἰς τὸν Ἀδρίαν ὁλκάδα δυοῖν παλαντοιν, ὅτε μὲν ἀπέφλεν, ἔλεγε τοῖς τὰ μη-
" τέρα αὐτῶν, ὅτι τῶν παίδων ὁ κίνδυνος εἴη· ἐπεὶ δὲ ἐσώθη καὶ ἐδιπλασίασεν, ἐμοῦ τὴν ἐμπο-
" είαν ἔφασκεν εἶ. καὶ μὲν τοι εἰ μὲν τὰς ζημίας τούτων ἀποδείξῃ, τὰ δὲ ὀφθέντα τῶν χρημάτων
" αὐτὸς ἔξῃ, ὅπη μὲν αὐτὰ τὰ χρήματα, καὶ χαλεπῶς εἰς τὸν λόγον ἐγχωρήσῃ, ῥᾳδίως δὲ οὐκ
" τῶν ὑποτείων αὐτὸς πλουτήσῃ. καθ' ἕκαστον μὲν οὖν, ὦ δικασταί, πολὺ ἂν εἴη ἔργον τοῖς ὑ-
" μᾶς λογίζεσθαι· ὅπως δὲ μόλις παρ' αὐτοῦ παρέλαβον τὰ γράμματα, μάρτυρας ἔχων, ἀκούσατε
Dionysii Halicarnassei Tomus alter. h iiij

πανηγύρεως, ἐκβαλεῖν Διονύσιον τὸν τύραννον τῆς ἀρχῆς, καὶ Σικελίαν ἐλευθερῶσαι, ἄρξασθαί τε τῆς ἔχθρας αὐτίκα μάλα, διαρπάσαντας τὴν τοῦ τυράννου σκηνὴν χρυσῷ τε καὶ πορφύρᾳ καὶ ἄλλῳ πλούτῳ πολλῷ κεκοσμημένην. ἔπεμψε γὰρ θεωροὺς εἰς τὴν πανήγυριν ὁ Διονύσιος, ἄγοντας θυσίαν τῷ θεῷ· μεγαλοπρεπής τε καταγωγὴ τῶν θεωρῶν ἐγίνετο ἐν τῷ τεμένει καὶ πολυτελής, ἵνα θαυμασθείη μᾶλλον ὁ τύραννος ὑπὸ τῆς Ἑλλάδος. ταύτην λαβὼν τὴν ὑπόθεσιν, τοιαύτην πεποίηται τὴν ἀρχὴν τοῦ λόγου· Ἄλλων τε πολλῶν καὶ καλῶν ἔργων ἕνεκα, ὦ ἄνδρες, ἄξιον Ἡρακλέους μεμνῆσθαι, καὶ ὅτι τόνδε τὸν ἀγῶνα πρῶτος συνήγειρε δι' εὔνοιαν τῆς Ἑλλάδος. ἐν μὲν γὰρ τῷ τέως χρόνῳ ἀλλοτρίως αἱ πόλεις πρὸς ἀλλήλας διέκειντο· ἐπειδὴ δὲ ἐκεῖνος τοὺς τυράννους ἔπαυσε, καὶ τοὺς ὑβρίζοντας ἐκώλυσεν, ἀγῶνα μὲν σωμάτων ἐποίησε, φιλοτιμίαν δὲ πλούτου, γνώμης δ' ἐπίδειξιν ἐν τῷ καλλίστῳ τῆς Ἑλλάδος· ἵνα τούτων ἁπάντων ἕνεκα εἰς τὸ αὐτὸ συνέλθωμεν, τὰ μὲν ὀψόμενοι, τὰ δὲ ἀκουσόμενοι. ἡγήσατο γὰρ τὸν ἐνθάδε σύλλογον ἀρχὴν γενέσθαι τοῖς Ἕλλησι τῆς πρὸς ἀλλήλους φιλίας. ἐκεῖνος μὲν οὖν ταῦθ' ὑφηγήσατο. ἐγὼ δὲ ἥκω οὐ μικρολογησόμενος, οὐδὲ περὶ τῶν ὀνομάτων μαχούμενος· ἡγοῦμαι γὰρ ταῦτα, ἔργα μὲν εἶναι σοφιστῶν λίαν ἀχρήστων καὶ σφόδρα βίου δεομένων· ἀνδρὸς δὲ ἀγαθοῦ καὶ πολίτου πολλοῦ ἀξίου, περὶ τῶν μεγίστων συμβουλεύειν· ὁρῶν οὕτως αἰσχρῶς διακειμένην τὴν Ἑλλάδα, καὶ πολλὰ μὲν αὐτῆς ὄντα ὑπὸ τῷ βαρβάρῳ, πολλὰς δὲ πόλεις ὑπὸ τυράννων ἀναστάτους γεγενημένας. καὶ ταῦτα εἰ μὲν δι' ἀσθένειαν ἐπάσχομεν, στέργειν ἂν ἦν ἀνάγκη τὴν τύχην· ἐπειδὴ δὲ διὰ στάσιν καὶ τὴν πρὸς ἀλλήλους φιλονεικίαν, πῶς οὐκ ἄξιον τῶν μὲν παύσασθαι, τὰ δὲ κωλῦσαι, εἰδότας ὅτι φιλονεικεῖν μέν ἐστιν εὖ πραττόντων, γνῶναι δὲ τὰ βέλτιστα, τῶν ἀτυχούντων; ὁρῶμεν γὰρ τοὺς κινδύνους, καὶ μεγάλους, καὶ πανταχόθεν περιεστηκότας. ἐπίστασθε δὲ ὅτι ἡ μὲν ἀρχή, τῶν κρατούντων τῆς θαλάσσης· τῶν δὲ χρημάτων, βασιλεὺς ταμίας· τὰ δὲ τῶν Ἑλλήνων σώματα, τῶν δαπανᾶσθαι δυναμένων· ναῦς δὲ πολλὰς αὐτὸς κέκτηται, πολλὰς δ' ὁ τύραννος τῆς Σικελίας. ὥστε ἄξιον τὸν μὲν πρὸς ἀλλήλους πόλεμον καταθέσθαι, τῇ δ' αὐτῇ γνώμῃ χρωμένους, τῆς σωτηρίας ἀντέχεσθαι· καὶ περὶ μὲν τῶν παρεληλυθότων αἰσχύνεσθαι, περὶ δὲ τῶν μελλόντων ἔσεσθαι δεδιέναι, καὶ τοὺς προγόνους μιμεῖσθαι, οἳ τοὺς μὲν βαρβάρους ἐποίησαν, τῆς ἀλλοτρίας ἐπιθυμοῦντας, τῆς σφετέρας αὐτῶν ἐστερῆσθαι· τοὺς δὲ τυράννους ἐξελάσαντες, κοινὴν ἅπασι τὴν ἐλευθερίαν κατέστησαν. θαυμάζω δὲ Λακεδαιμονίους πάντων μάλιστα, τίνι ποτὲ γνώμῃ χρώμενοι, καιομένην τὴν Ἑλλάδα περιορῶσιν, 114 ἡγεμόνες ὄντες τῶν Ἑλλήνων, οὐκ ἀδίκως, καὶ διὰ τὴν ἔμφυτον ἀρετήν, καὶ διὰ τὴν περὶ τὸν πόλεμον ἐπιστήμην· μόνοι δὲ οἰκοῦντες ἀπόρθητοι, καὶ ἀτείχιστοι, καὶ ἀστασίαστοι, καὶ ἀήττητοι, καὶ τρόποις ἀεὶ τοῖς αὐτοῖς χρώμενοι· ὧν ἕνεκα ἐλπὶς ἀθάνατον τὴν ἐλευθερίαν αὐτοὺς κεκτῆσθαι, καὶ ἐν τοῖς παρεληλυθόσι κινδύνοις σωτῆρας γενομένους τῆς Ἑλλάδος, περὶ τῶν μελλόντων προορᾶσθαι. οὐ τοίνυν ὁ ἐπιὼν καιρὸς τοῦ παρόντος βελτίων. οὐ γὰρ ἀλλοτρίας δεῖ τὰς τῶν ἀπολωλότων συμφορὰς νομίζειν, ἀλλ' οἰκείας· οὐδ' ἀναμεῖναι ἕως ἐπ' αὐτοὺς ἡμᾶς αἱ δυνάμεις ἀμφοτέρων ἔλθωσιν, ἀλλ' ἕως ἔτι ἔξεστι, τὴν τούτων ὕβριν κωλῦσαι. τίς γὰρ οὐκ ἂν ἐνορῶν ἐν τῷ πρὸς ἀλλήλοις πολέμῳ μεγάλους αὐτοὺς γεγενημένους; ὧν οὐ μόνον αἰσχρῶν ὄντων, ἀλλὰ καὶ δεινῶν, τοῖς μὲν μεγάλα ἐξημαρτηκόσιν ἐξουσία γεγένηται τῶν πεπραγμένων· τοῖς δὲ Ἕλλησιν, οὐδεμία αὐτῶν τιμωρία.

συμβουλευτικοῦ λόγου παράδειγμα.

ἑνὸς ἔτι παράδειγμα θήσω λόγου συμβουλευτικοῦ, ἵνα καὶ τούτου τοῦ γένους τοῦ λόγου ὁ χαρακτὴρ γένηται σαφής. ὑπόθεσιν δὲ περιείληφε, περὶ τοῦ μὴ καταλῦσαι τὴν πάτριον πολιτείαν Ἀθήνησι. τοῦ γὰρ δήμου κατελθόντος ἐκ Πειραιῶς, καὶ ψηφισαμένου διαλύσασθαι πρὸς τοὺς ἐν ἄστει, καὶ μηδενὸς τῶν γεγενημένων μνησικακεῖν· δέους δὲ ὄντος μὴ πάλιν τὸ πλῆθος εἰς τοὺς εὐπόρους ὑβρίζῃ, τὴν ἀρχαίαν ἐξουσίαν κεκομισμένον, καὶ πολλῶν ὑπὲρ τούτου γινομένων λόγων, Φορμίσιός τις τῶν συγκατελθόντων μετὰ τοῦ δήμου, γνώμην εἰσηγήσατο, τοὺς μὲν φεύγοντας κατιέναι, τὴν δὲ πολιτείαν μὴ πᾶσιν, ἀλλὰ τοῖς τὴν γῆν ἔχουσι παραδοῦναι, βουλομένων ταῦτα γενέσθαι καὶ Λακεδαιμονίων. ἔμελλον δέ, τοῦ ψηφίσματος τούτου κυρωθέντος, πεντακισχίλιοι σχεδὸν Ἀθηναίων ἀπελαθήσεσθαι τῶν κοινῶν. ἵνα μὴ δὴ τοῦτο γένοιτο, γράφει τὸν λόγον τόνδε ὁ Λυσίας τῶν ἐπισήμων τινὶ καὶ πολιτευομένων. εἰ μὲν οὖν ἐρρήθη τότε, ἄδηλον· σύγκειται γ' οὖν ὡς πρὸς ἀγῶνα ἐπιτηδείως. ἔστι δὲ ὅδε· Ὅτε ἐνομίζομεν, ὦ Ἀθηναῖοι, τὰς γεγενημένας συμφορὰς ἱκανὰ μνημεῖα τῇ πόλει

καταλελεῖφθαι, ὥστε μηδ' ἂν τοὺς ἐπιγινομένους ἑτέρας πολιτείας ἐπιθυμεῖν, τότε δὴ οὗτοι τοὺς κακῶς πεπονθότας, καὶ ἀμφοτέρων πεπειραμένους, ἐξαπατῆσαι ζητοῦσι τοῖς αὐτοῖς ψηφίσμασιν οἷσπερ καὶ πρότερον. διὸ δὴ καὶ τούτων μὲν οὐ θαυμάζω, ὑμῶν δὲ τῶν ἀκροωμένων, ὅτι πάντων εἰσὶν ἐπιλησμονέστατοι ἢ πάσχειν ἑτοιμότατοι κακῶς ὑπὸ τοιούτων ἀνδρῶν, οἳ τῇ μὲν τύχῃ, τῶν Πειραιῶς πραγμάτων μετέσχον, τῇ δὲ γνώμῃ, τῶν ἐξ ἄστεος. καίτοι τί ἔδει φεύγοντας κατελθεῖν, εἰ χειροτονοῦντες ὑμᾶς αὐτοὺς καταδουλώσεσθε; ἐγὼ μὲν οὖν, ὦ Ἀθηναῖοι, οὔτε γένει ἀπελαυνόμενος, ἀλλ' ἀμφότερα τῶν ἀντιλεγόντων πρότερος ὤν, ἡγοῦμαι ταύτην μόνην σωτηρίαν εἶναι τῇ πόλει, ἅπασιν Ἀθηναίοις τῆς πολιτείας μετεῖναι· ἐπεὶ ὅτε καὶ τὰ τείχη, καὶ τὰς ναῦς, καὶ τὰ χρήματα, καὶ συμμάχους ἐκτήμεθα, οὐχ οὕτως ἵνα Ἀθηναίων τινὰ ποιήσωμεν, διενοούμεθα, ἀλλὰ καὶ Εὐβοεῦσιν ἐπιγαμίαν ἐποιούμεθα· νῦν δὲ καὶ τοὺς ὑπάρχοντας πολίτας ἀπολοῦμεν; οὔκ, ἂν ἐμοί γε πειθώμεθα. οὐδὲ μετὰ τῶν τειχῶν καὶ ταῦτα ἡμῶν αὐτῶν περιαιρησόμεθα, ὁπλίτας πολλοὺς καὶ ἱππέας καὶ τοξότας· ὧν ὑμεῖς ἀντεχόμενοι, βεβαίως δημοκρατήσεσθε, τῶν δὲ ἐχθρῶν πλέον ἐπικρατήσετε, ὠφελιμώτεροι δὲ τοῖς συμμάχοις ἔσεσθε. ἐπίστασθε γὰρ ταῖς ἐφ' ἡμῶν ὀλιγαρχίαις γεγενημέναις, καὶ οὐ τοὺς γῆν κεκτημένους ἔχοντας τὴν πόλιν, ἀλλὰ καὶ πολλοὺς μὲν αὐτῶν ἀποθανόντας, πολλοὺς δ' ἐκ τῆς πόλεως ἐκπεσόντας· οὓς ὁ δῆμος καταγαγών, ὑμῖν μὲν τὴν ὑμετέραν ἀπέδωκεν, αὐτὸς δὲ ταύτης οὐκ ἐτόλμησε μετασχεῖν. ὥστε, ἂν ἐμοί γε πείθησθε, οὐ τοὺς εὐεργέτας, καθ' ὃ δύνασθε, τῆς πατρίδος ἀποστερήσετε, οὐδὲ τοὺς 115 λόγους πιστοτέρους τῶν ἔργων, οὐδὲ τὰ μέλλοντα τῶν γεγενημένων νομιεῖτε· ἄλλως τε καὶ μεμνημένοι τῶν περὶ τῆς ὀλιγαρχίας μαχομένων, οἳ τῷ μὲν λόγῳ, τῷ δήμῳ πολεμοῦσι, τῷ δὲ ἔργῳ, τῶν ὑμετέρων ἐπιθυμοῦσιν· ὅταν κτήσονται, ὅταν ὑμᾶς ἐρήμους συμμάχων λάβωσιν. εἶτα τοῖς τῶν ἡμῖν ὑπαρχόντων ἐρῶσι, τίς ἔσται σωτηρία τῇ πόλει, εἰ μὴ ποιήσωμεν Λακεδαιμονίοις κελεύουσιν. ἐγὼ δὲ τούτοις εἰπεῖν ἀξιῶ, τί τῷ πλήθει περιγενήσεται, εἰ ποιήσαιμεν ἃ ἐκεῖνοι προστάττουσιν; εἰ δὲ μή, πολὺ κάλλιον μαχομένους ἀποθνήσκειν, ἢ φανερῶς ὑμῶν αὐτῶν θάνατον καταψηφίσασθαι. ἡγοῦμαι γάρ, ἐὰν μὲν πείθω, ἀμφοτέροις κοινὸν εἶναι κίνδυνον. ὁρῶ δὲ Ἀργείους καὶ Μαντινέας τὴν αὐτὴν ἔχοντας γνώμην· τοὺς μέν, ὁμόρους ὄντας Λακεδαιμονίοις· τοὺς δέ, ἐγγὺς οἰκοῦντας· καὶ τοὺς μέν, οὐδὲν ἡμῶν πλείους· τοὺς δέ, οὐδὲ τρισχιλίους ὄντας. ἴσασι γὰρ ὅτι, κἂν πολλάκις εἰς τὴν τούτων ἐμβάλωσι, πολλάκις αὐτοῖς ἀπαντήσονται, ὅπλα λαβόντες. ὥστε οὐ καλὸς ὁ κίνδυνος αὐτοῖς δοκεῖ εἶναι, ἐὰν μὲν νικήσωσι, τούτους καταδουλώσεσθαί γε· ἐὰν δὲ ἡττηθῶσι, σφᾶς αὐτοὺς ὑπαρχόντων ἀγαθῶν ἀποστερῆσαι· ὅσῳ δ' ἂν ἄμεινον πράττωσι, τοσούτῳ ἐπιθυμοῦσι κινδυνεύειν. εἴχομεν δέ, ὦ ἄνδρες, καὶ ἡμεῖς ταύτην τὴν γνώμην, ὅτε τῶν Ἑλλήνων ἤρχομεν, καὶ ἐδοκοῦμεν καλῶς βουλεύεσθαι, περιορῶντες μὲν τὴν χώραν τεμνομένην, οὐ νομίζοντες δὲ χρῆναι περὶ αὐτῆς διαμάχεσθαι. ἄξιον γὰρ ἦν, ὀλίγων ἀμελοῦντας, πολλῶν ἀγαθῶν φείσασθαι. νῦν δέ, ἐπεὶ ἐκείνων μὲν ἁπάντων μάχῃ ἐστερήμεθα, ἡ δὲ πατρὶς ἡμῖν λέλειπται, ἴσμεν ὅτι ὁ κίνδυνος οὗτος μόνος ἔχει τὰς ἐλπίδας τῆς σωτηρίας. ἀλλὰ χρὴ ἀναμνησθέντας ὅτι ἤδη καὶ ἑτέροις ἀδικουμένοις βοηθήσαντες, ἐν τῇ ἀλλοτρίᾳ πολλὰ τρόπαια τῶν πολεμίων ἐστήσαμεν, ἄνδρας ἀγαθοὺς περὶ τῆς πατρίδος καὶ ἡμῶν αὐτῶν γίνεσθαι, πιστεύοντας μὲν τοῖς θεοῖς, καὶ ἐλπίζοντας ἐπὶ τὸ δίκαιον μετὰ τῶν ἀδικουμένων ἔσεσθαι. δεινὸν γὰρ ἂν εἴη, ὦ Ἀθηναῖοι, εἰ, ὅτε μὲν ἐφεύγομεν, ἐμαχόμεθα Λακεδαιμονίοις, ἵνα κατέλθωμεν· κατελθόντες δέ, φευξόμεθα, ἵνα μὴ μαχώμεθα. οὐκοῦν αἰσχρόν, εἰ εἰς τοῦτο κακίας ἥξομεν, ὥστε οἱ μὲν πρόγονοι καὶ ὑπὲρ τῆς τῶν ἄλλων ἐλευθερίας Ἑλλήνων διεκινδύνευον, ὑμεῖς δὲ οὐδὲ ὑπὲρ τῆς ὑμετέρας αὐτῶν τολμᾶτε πολεμεῖν;

ἀλλ' ἅλις ἤδη παραδειγμάτων, ἵνα καὶ περὶ τῶν λοιπῶν ῥητόρων τὸν αὐτὸν διαλεχθῶμεν τρόπον. ἕπεται δὲ τῷ ῥήτορι τούτῳ κατὰ τὴν τάξιν τῶν χρόνων Ἰσοκράτης. περὶ δὴ τούτου λεκτέον ἐφεξῆς, ἑτέραν ἀρχὴν λαβοῦσιν.

116 ΙΣΟΚΡΑΤΗΣ ΑΘΗΝΑΙΟΣ.

Ἰσοκράτους βίος.

Ἰσοκράτης ὁ Ἀθηναῖος ἐγεννήθη μὲν ἐπὶ τῆς ὀγδοηκοστῆς καὶ ἕκτης ὀλυμπιάδος, ἄρχοντος Ἀθήνησι Λυσιμάχου, πέμπτῳ πρότερον ἔτει τοῦ Πελοποννησιακοῦ πολέμου, δυσὶ καὶ εἴκοσιν ἔτεσι νεώτερος Λυσίου. πατρὸς δὲ ἦν Θεοδώρου τινὸς τῶν μετρίων πολιτῶν, θεράποντας αὐλοποιοὺς κεκτημένου, καὶ τὸν βίον ἀπὸ ταύτης ἔχοντος τῆς ἐργασίας. ἀγωγῆς δὲ τυχὼν εὐδήμονος, καὶ παιδευθεὶς οὐδενὸς Ἀθηναίων χεῖρον, ἐπειδὴ τάχιστα ἀνὴρ ἐγένετο, φιλοσοφίας ἐπεθύμησε. γενόμενος δὲ ἀκουστὴς Προδίκου τε τοῦ Κείου, καὶ Γοργίου τοῦ Λεοντίνου, καὶ Τισίου τοῦ Συρακουσίου, τῶν τότε μέγιστον ὄνομα ἐν τοῖς Ἕλλησιν ἐχόντων ἐπὶ σοφίᾳ· ὡς δέ τινες ἱστοροῦσι, καὶ Θηραμένους τοῦ ῥήτορος, ὃν οἱ τριάκοντα ἀπέκτειναν, δημοτικὸν εἶναι δοκοῦντα· σπουδὴν μὲν ἐποιεῖτο πράττειν τε καὶ λέγειν τὰ πολιτικά· ὡς δὲ ἡ φύσις ἠναντιοῦτο, τὰ πρῶτα καὶ κυριώτατα τοῦ ῥήτορος ἀφελομένη, τόλμαν τε καὶ φωνῆς μέγεθος, ὧν χωρὶς οὐχ οἷόν τε ἦν ἐν ὄχλῳ λέγειν, ταύτης μὲν ἀπέστη τῆς προαιρέσεως· ἐπιθυμῶν δὲ δόξης, καὶ τοῦ πρωτεῦσαι παρὰ τοῖς Ἕλλησιν ἐπὶ σοφίᾳ, καθάπερ αὐτὸς εἴρηκεν, ἐπὶ τὸ γράφειν ἃ διανοηθείη κατέφυγεν· οὐ περὶ μικρῶν τὴν προαίρεσιν ποιούμενος, οὐδὲ περὶ τῶν ἰδίων συμβολαίων, οὐδὲ περὶ ὧν ἄλλοι τινὲς τῶν τότε σοφιστῶν· περὶ δὲ τῶν Ἑλληνικῶν καὶ βασιλικῶν πραγμάτων, ἐξ ὧν ὑπελάμβανε τάς τε πόλεις ἄμεινον οἰκήσεσθαι, καὶ τοὺς ἰδιώτας ἐπίδοσιν ἕξειν πρὸς ἀρετήν. ταῦτα γὰρ ἐν τῷ Παναθηναϊκῷ λόγῳ περὶ αὐτοῦ γράφει. πεφυρμένην τε παραλαβὼν τὴν ἄσκησιν τῶν λόγων ὑπὸ τῶν περὶ Γοργίαν καὶ Πρωταγόραν σοφιστῶν, πρῶτος ἐχώρησεν ἀπὸ τῶν ἐριστικῶν τε καὶ φυσικῶν ἐπὶ τοὺς πολιτικούς, καὶ περὶ ταύτην σπουδάζων τὴν ἐπιστήμην διετέλεσεν, ἐξ ἧς, ὥς φησιν αὐτός, τὸ βουλεύεσθαι καὶ λέγειν καὶ πράττειν τὰ συμφέροντα παραγίνεται τοῖς μαθοῦσιν. ἐπιφανέστατος δὲ γενόμενος τῶν κατὰ τὸν αὐτὸν ἀκμασάντων χρόνον, καὶ τοὺς κρατίστους τῶν Ἀθήνησί τε καὶ ἐν τῇ ἄλλῃ Ἑλλάδι νέων παιδεύσας, ὧν οἱ μὲν ἐν τοῖς δικανικοῖς ἐγένοντο ἄριστοι λόγοις, οἱ δ' ἐν τῷ πολιτεύεσθαι καὶ τὰ κοινὰ πράττειν διήνεγκαν, καὶ ἄλλοι δὲ τὰς κοινὰς τῶν Ἑλλήνων τε καὶ βαρβάρων πράξεις ἀνέγραψαν· καὶ τῆς Ἀθηναίων πόλεως εἰκόνα ποιήσας τὴν ἑαυτοῦ σχολήν, κατὰ τὰς ἀποικίας τῶν λόγων, πλοῦτον ὅσον οὐδεὶς τῶν ἀπὸ φιλοσοφίας χρηματισαμένων περιποιησάμενος, ἐτελεύτα τὸν βίον ἐπὶ Χαιρωνίδου ἄρχοντος, ὀλίγαις ἡμέραις ὕστερον τῆς ἐν Χαιρωνείᾳ μάχης, δυοῖν δέοντα βεβιωκὼς ἑκατὸν ἔτη, γνώμῃ χρησάμενος ἅμα τοῖς ἀγαθοῖς τῆς πόλεως συγκαταλῦσαι τὸν ἑαυτοῦ βίον, ἀδήλου ἔτι ὄντος πῶς χρήσεται τῇ τύχῃ Φίλιππος παραλαβὼν τὴν τῶν Ἑλλήνων ἀρχήν. τὰ μὲν οὖν ἱστορούμενα περὶ αὐτοῦ, κεφαλαιωδῶς ταῦτ' ἐστίν.

λέξις.

ἡ δὲ λέξις ἣ κέχρηται, τοιοῦτόν τινα χαρακτῆρα ἔχει. καθαρὰ μέν ἐστιν οὐχ ἧττον τῆς Λυσίου, καὶ οὐδὲν εἰκῇ τιθεῖσα ὄνομα· τήν τε διάλεκτον ἀκριβοῦσα ἐν τοῖς πάνυ τὴν κοινὴν καὶ συνηθεστάτην. καὶ γὰρ αὕτη πέφευγεν ἀπηρχαιωμένων καὶ σημειωδῶν ὀνομάτων τὴν ἀπειροκαλίαν. [κατὰ δὲ τὴν τροπικὴν φράσιν, ὀλίγον τι διαλλάττει τῆς Λυσίου] καὶ κέκραται συμμέτρως· τό τε σαφὲς ἐκείνῃ
117 παραπλήσιον ἔχει, καὶ τὸ ἐναργές. ἠθική τέ ἐστι καὶ πιθανή. καὶ στρογγύλη δὲ οὐκ ἔστιν, ὥσπερ ἐκείνη, καὶ συγκεκροτημένη, καὶ πρὸς ἀγῶνας δικανικοὺς εὔθετος· ὑπτία δέ ἐστι μᾶλλον καὶ κεχυμένη πλουσίως. οὐ δὴ σύντομος οὕτως, ἀλλὰ καὶ κατασκελὴς καὶ βραδυτέρα τοῦ μετρίου· δι' ἣν δὲ αἰτίαν τοῦτο πάσχει, μετὰ μικρὸν ἐρῶ. οὐδὲ τὴν σύνθεσιν ἐπιδείκνυται τὴν φυσικὴν καὶ ἀφελῆ καὶ ἐναγώνιον, ὥσπερ ἡ Λυσίου, ἀλλὰ πεποιημένην μᾶλλον εἰς σεμνότητα πομπικὴν καὶ ποικίλην, καὶ πῇ μὲν εὐπρεπεστέραν ἐκείνης, πῇ δὲ περιεργοτέραν. ὁ γὰρ ἀνὴρ οὗτος τὴν εὐέπειαν ἐκ παντὸς διώκει, καὶ τοῦ γλαφυρῶς λέγειν στοχάζεται μᾶλλον ἢ τοῦ ἀφελῶς. τῶν τε γὰρ φωνηέντων τὰς παραλλήλους θέσεις, ὡς λυούσας τὰς ἁρμονίας τῶν ἤχων, καὶ τὴν λειότητα τῶν φθόγγων λυμαινομένας,

παραι-

παραιτεῖται· περιόδῳ τε καὶ κύκλῳ περιλαμβάνειν τὰ νοήματα πειρᾶται ῥυθμοειδεῖ πάνυ, καὶ οὐ πολὺ ἀπέχοντι τοῦ ποιητικοῦ μέτρου· ἀναγνώσεώς τε μᾶλλον οἰκειότερός ἐστιν ἢ ῥήσεως. τοιγάρτοι τὰς μὲν ἐπιδείξεις τὰς ἐν ταῖς πανηγύρεσι, καὶ τὴν ἐκ χειρὸς θεωρίαν φέρουσιν αὐτοῦ οἱ λόγοι· τοὺς δὲ ἐν ἐκκλησίαις καὶ δικαστηρίοις ἀγῶνας οὐχ ὑπομένουσι. τούτου δὲ αἴτιον, ὅτι πολὺ τὸ παθητικὸν ἐν ἐκείνοις εἶναι δεῖ· τοῦτο δὲ ἥκιστα δέχεται περίοδος. αἵ τε παρομοιώσεις καὶ παρισώσεις καὶ τὰ ἀντίθετα, καὶ πᾶς ὁ τῶν τοιούτων σχημάτων κόσμος, πολύς ἐστι παρ' αὐτῷ, καὶ λυπεῖ πολλάκις τὴν ἄλλην κατασκευήν, προσιστάμενος ταῖς ἀκοαῖς. καθόλου δὲ τριῶν ὄντων, ὥς φησι Θεόφραστος, ἐξ ὧν γίνεται τὸ μέγα καὶ σεμνὸν καὶ περιττὸν ἐν λέξει, τῆς τε ἐκλογῆς τῶν ὀνομάτων, καὶ τῆς ἐκ τούτων ἁρμονίας, καὶ τῶν περιλαμβανόντων αὐτὰ σχημάτων, ἐκλέγει μὲν εὖ πάνυ, καὶ τὰ κράτιστα ὀνόματα τίθησιν· ἁρμόττει δὲ αὐτὰ περιέργως, τὴν εὐφωνίαν ἐντείνων μουσικήν· σχηματίζει τε φορτικῶς, καὶ τὰ πολλὰ γίνεται ψυχρός, ἢ τῷ πόρρωθεν λαμβάνειν, ἢ τῷ μὴ πρέποντα εἶναι τὰ σχήματα τοῖς πράγμασιν, [ἢ] διὰ τὸ μὴ κρατεῖν τοῦ μετρίου. ταῦτα μέντοι καὶ μακροτέραν αὐτῷ ποιεῖ τὴν λέξιν πολλάκις· λέγω δὲ τό τε εἰς περιόδους ἐναρμόττειν ἅπαντα τὰ νοήματα, καὶ τὸ τοῖς αὐτοῖς τύποις τῶν σχημάτων τὰς περιόδους περιλαμβάνειν, καὶ τὸ διώκειν ἐκ παντὸς τὴν εὐρυθμίαν. οὐ γὰρ ἅπαντα δέχεται οὔτε μῆκος τὸ αὐτό, οὔτε σχῆμα τὸ παραπλήσιον, οὔτε ῥυθμὸν τὸν ἴσον. ὥστε ἀνάγκη παραπληρώμασι λέξεων οὐδὲν ὠφελουσῶν χρῆσθαι, καὶ ἀπομηκύνειν πέρα τοῦ χρησίμου τὸν λόγον. λέγω δὲ οὐχ ὡς διὰ παντὸς αὐτοῦ ταῦτα ποιοῦντος· οὐχ οὕτω μαίνομαι· καὶ γὰρ συντίθησί ποτε ἀφελῶς τὰ ὀνόματα, καὶ λύει τὴν περίοδον εὐγενῶς, καὶ τὰ περίεργα σχήματα καὶ φορτικὰ φεύγει, καὶ μάλιστα ἐν τοῖς συμβουλευτικοῖς τε καὶ δικανικοῖς λόγοις· ἀλλ' ὡς ἐπὶ πολὺ τῷ ῥυθμῷ δουλεύοντος, καὶ τῷ κύκλῳ τῆς περιόδου, καὶ τὸ κάλλος τῆς ἀπαγγελίας ἐν τῷ περιττῷ τιθεμένου, κοινότερον εἴρηκα περὶ αὐτοῦ.

Ἧι Λυσίου λείπεταί τε ἢ προτερεῖ.

κατὰ δὴ ταῦτα φημὶ τὴν Ἰσοκράτους λέξιν λείπεσθαι τῆς Λυσίου, καὶ ἔτι κατὰ τὴν χάριν. καίτοιγε ἀνθηρός ἐστιν, εἰ καί τις ἄλλος, καὶ ἐπαγωγὸς ἡδονῇ τῶν ἀκροωμένων Ἰσοκράτης· ἀλλ' οὐκ ἔχει τὴν αὐτὴν χάριν ἐκείνῳ. τοσοῦτον δὲ αὐτοῦ λείπεται κατὰ ταύτην τὴν ἀρετήν, ὅσον τῶν φύσει καλῶν σωμάτων τὰ συνερανιζόμενα κόσμοις ἐπιθέτοις. πέφυκε γὰρ ἡ Λυσίου λέξις ἔχειν τὸ χαρίεν· ἡ δ' Ἰσοκράτους, βούλεται. ταύταις μὲν δὴ ταῖς ἀρεταῖς ὑστερεῖ Λυσίου, κατὰ γοῦν τὴν ἐμὴν γνώμην· προτερεῖ δέ γε ἐν ταῖς μελλούσαις λέγεσθαι. ὑψηλότερός ἐστιν ἐκείνου κατὰ τὴν ἑρμηνείαν, καὶ μεγαλοπρεπέστερος μακρῷ, καὶ ἀξιωματικώτερος. θαυμαστὸν γὰρ δὴ καὶ μέγα τὸ τῆς Ἰσοκράτους κατασκευῆς ὕψος, ἡρωϊκῆς μᾶλλον ἢ ἀνθρω- 118
πίνης φύσεως οἰκεῖον. δοκεῖ δή μοι μὴ ἀπὸ σκοποῦ τις ἂν εἰκάσαι τὴν μὲν Ἰσοκράτους ῥητορικήν, τῇ Πολυκλείτου τε καὶ Φειδίου τέχνῃ, κατὰ τὸ σεμνὸν καὶ μεγαλότεχνον καὶ ἀξιωματικόν· τὴν δὲ Λυσίου, τῇ Καλάμιδος καὶ Καλλιμάχου, τῆς λεπτότητος ἕνεκα καὶ τῆς χάριτος. ὥσπερ γὰρ ἐκείνων οἱ μὲν, ἐν τοῖς ἐλάττοσι καὶ ἀνθρωπικοῖς ἔργοις εἰσὶν ἐπιτυχέστεροι τῶν ἑτέρων, οἱ δ', ἐν τοῖς μείζοσι καὶ θειοτέροις δεξιώτεροι· οὕτω καὶ τῶν ῥητόρων ὁ μὲν, ἐν τοῖς μικροῖς ἐστι σοφώτερος, ὁ δ', ἐν τοῖς μεγάλοις περιττότερος. τάχα μὲν γὰρ καὶ τῇ φύσει μεγαλόφρων τις ὤν· εἰ δὲ μή, τῇ γε προαιρέσει πάντως τὸ σεμνὸν καὶ θαυμαστὸν διώκων. ταῦτα μὲν οὖν περὶ τῆς λέξεως τοῦ ῥήτορος.

τοῦ πραγματικοῦ τόπου θεωρήματα ποῖα παρ' Ἰσοκράτει ἢ παρὰ Λυσίᾳ.

τὰ δ' ἐν τῷ πραγματικῷ τόπῳ θεωρήματα, τὰ μὲν, ὅμοια τοῖς Λυσίου· τὰ δὲ, κρείττονα. ἡ μὲν εὕρεσις ἡ τῶν ἐνθυμημάτων, ἡ πρὸς ἕκαστον ἁρμόττουσα πρᾶγμα, πολλὴ καὶ πυκνὴ καὶ οὐδὲν ἐκείνης λειπομένη· καὶ κρίσις ὡσαύτως ἀπὸ μεγάλης φρονήσεως γινομένη· τάξις δὲ καὶ μερισμοὶ τῶν πραγμάτων, καὶ ἡ κατ' ἐπιχείρημα ἐξεργασία, καὶ τὸ διαλαμβάνεσθαι τὴν ὁμοειδίαν ἰδίαις μεταβολαῖς, καὶ ξένοις ἐπεισοδίοις, τά τε ἄλλα ὅσα περὶ τὴν πραγματικὴν οἰκονομίαν ἐστὶν ἀγαθά, πολλῷ μείζονά ἐστι παρ' Ἰσοκράτει καὶ κρείττονα· μάλιστα δ' ἡ προαίρεσις ἡ τῶν λόγων περὶ οὓς ἐσπούδαζε, καὶ τῶν ὑποθέσεων τὸ κάλλος, ἐν αἷς ἐποιεῖτο τὰς διατριβάς· ἐξ ὧν οὐ λέγειν δεινοὺς μόνον ἀπεργάσαιτ' ἂν τοὺς προσέχοντας αὐτῷ τὸν νοῦν, ἀλλὰ καὶ τὰ ἤθη σπουδαίους, οἴκῳ τε καὶ πόλει καὶ ὅλῃ τῇ Ἑλλάδι χρησίμους. κράτιστα γὰρ δὴ παιδεύματα πρὸς ἀρετὴν ἐν τοῖς Ἰσοκράτους ἐστὶν εὑρεῖν λόγοις. καὶ ἔγωγέ φημι χρῆναι τοὺς μέλλοντας οὐχὶ μέρος τι τῆς πολιτικῆς δυνάμεως, ἀλλ' ὅλην αὐτὴν κτήσασθαι, τοῦτον ἔχειν τὸν ῥήτορα διὰ

χλεός· ᾗ εἴ τις ὀπτηδδύᾳ τὼν δημηνιὼν φιλοσοφίαν, μὴ δ' θεωρητικὴν αὐτῆς μόνον ἀγαπῶν, ἀλλὰ καὶ δ' θεσμαλικὴν, μηδ' ἀφ' ὧν αὐτὸς ἄλυπον ἕξᾳ βίον θεσαγεύμενος, ἀλλὰ δι' ὧν πολλοὺς ὠφελήσῃ, θδακελδυσάμενα αὖ αὐτῷ τὼν ἐκείνου τῶ ῥήτορος μιμεῖσθαι θεσαίρεσιν. τίς γὰρ οὐκ αὖ ἠβούλοιτο φιλόπολίς τε ᾗ φιλόδημος· ἢ τίς οὐκ αὖ ὀπτηδδύσδε τὼν πολιτικὴν καὶ λογικὴν ἀγαθὴν, αἰανγοις αὐτὸ τὸν πθμηγυεικόν; ὃν ᾧ διεξιὼν ἅς τῶν ἀρχαίων ἀρετὰς, φησὶν ὡς οἱ τὼν Ἑλλάδα ἐλθθερώσαντες ἀπὸ τ βαρβάρων, ᾗ τὰ πολέμια θμνοὶ μόνον ἦσαν, ἀλλὰ καὶ τὰ ἤθη ἠμνᾳοῦσι, καὶ φιλότιμοι ᾗ σώφρονες· οἵ γε τῶν μὲν κοινῶν μᾶλλον ἐφρόντιζον ἢ τῶν ἰδίων, τῶν ᾗ δημοτείων ἦπιον ἐπεθύμουν ἢ τῶν ἀδικημάτων· ᾗ τὼν δ' ἀδαμονίαν ᾗ θεὸς ἀργύριον ἔκρινον, ἀλλὰ θεὸς δ' δόξαν· μέχρι οἱόμθοι τοῖς παισὶ καταλείπειν πλῆθον ᾗ αὐτεπίφθονον, τ' θδὲ τοῖς πλήθεσι ᾗμιλ. κρεῖττονα δ' ἡγοῦντο τὸν δ' ᾗμονα θδύνατον, ἢ τὸν ἀκλεᾶ βίον· ἐσχάτων δὲ οὐχ ὅπως οἱ νόμοι καλῶς ᾗ ἀκριβῶς ἀμθῖς ἔξουσιν, ἀλλ' ὡς ἡ τῶν καθ' ἡμέραν ὀπτηδδυμάτων μετεμότης μηδὲν ὀκβήσεται τῶν πατείων. οὕτω δὲ εἶχεν αὐτοῖς τὰ θεὸς δημήλοις φιλοτίμως καὶ πολιτικῶς, ὥσλε καὶ τὰς τάσδε ἐποιοῦντο θεὸς δημήλοις, πότερα πλείω τὼν πόλιν ἀγαθὰ ποιήσουσιν, οὐχ οἵτινες τοὺς ἑτέρους ἀπολέσαντες, τῶν λοιπῶν αὖθι ἄρξουσι· τῇ δ' αὐτῇ θεσθυμίᾳ χρώμθοι ᾗ θεὸς τ' Ἑλλάδα, τ' θδὲ θεσπτόλεμον θεσκήσαντο τὰς πόλις, καὶ τ' πείθειν τὰς δ' ἐργασίας μᾶλλον ᾗ τ' διάζεσθαι τοῖς ὅπλοις, κατεῖχον· πιστοτέροις χρώμθοι τοῖς λόγοις ᾗ νῶ τοῖς ὅρκοις, καὶ τὰς σωμάτας ἀξιοῦντες μᾶλλον ἐμμένειν, ᾗ τὰς ἀνάγκας. ὁμοίως δ' θεὶ τῶν ἡδέων ἀξιοῦντες γινώσκειν, εἶα θεὶ σφᾶν αὐτῶν ὁμοίοις κρείττοις αὖ ἡδίσασαν φρονεῖν· οὕτω δὲ παρεσκθασμένοι τὰς γνώμας, ὡς ἰδίᾳ μθὲν ἔχοντες τὰς ἑαυτῶν πόλις, κοινῇ δ' πατείδα τ' Ἑλλάδα οἰκοθντες. τίς δ' οὐκ αὖ ἀγαπήσδε μέγεθος ἔχων αὖθρ καὶ δθυάμεως τίνος ἠρύλμθος, ἃ θεὸς Φίλιππον ἀπ' τὸν Μακεδόνα γέγραπται; ὃν οἷς ἀξιοῖ γρατηδν αὖθρα καὶ τηλικαύτης ἀρετῆς κύειον, ᾧ μᾶλλόν μθὲν τὰς ἀφεθεσμθύας πόλις, ἀλλὰ μὴ συγκρούειν θεὸς ἀλλήλας, τῶν δὲ Ἑλλάδα μεγάλων ὀκ μικρῶς ποιεῖν· χαριζόμθοι δ' τῆς θεὶ τὰ μικρὰ φιλοτιμίας, τοῖς τοιούτοις ὀπιχρῆν ἔρχεις, ἐξ ὧν κατορθώσας τὲ, πάντων ἡγεμόνων ὀπιφανέστατος ἔσται, καὶ ἀποτυχὼν, τῶν γε δύνοιαν τὼν θδὲ τῶν Ἑλλήνων κτήσεται· ἧς οἱ τυχόντες, πολλῷ μᾶλλόν εἰσι ζηλωτότεροι τῶν μεγάλας πόλις καὶ πολλὰς χώρας καταθρεφομθύων. ἔτι δ' θδακελδύεται μιμεῖσθαι τῶν Ἡρακλέους τὲ θεσαίρεσιν, ᾗ τῶν ἀγώνων ἡγεμόνων, ὅσοι μθ' τῶν Ἑλλήνων ὀπὲ τὲς βαρβάρους ἐστράτευσαν. καὶ φησι χρεῶναι τοῖς ἑτέρων ὀκφέρουσι, θεσαρθθαι μθὲν τὰς μέγεθος ἐχούσας θεσέξῃς, ὀπιτελῆν δὲ αὐτὰς μθ' ἀρετῆς, ἀνθμουμθύους ὅτι θ μθὲ σῶμα ἀπὸ τὸν ἔχομθν, ἀθάνατοι δὲ γινόμθα δι' ἀρετῶν· ᾗ τοῖς μθὲ θεὸς ἀγὸ τὶ τῶν ἀγαθῶν ἁπλήτως ᾧ θεκειμθύοις ἀφθόμεθα, ὁοὶς ᾗμιλ μείζω τῆς ὑπαρχούσης αἰεὶ κτημθύους ἐπαγοῦμθν· ᾗ ὅπ τῶν μθὲ ἀγώνων ἐφ' οἷς [χαίρουσιν οἱ πολλοὶ,] τὸ τε πλούτου ᾗ ἀρχῆς ᾗ δυναστείας, πολλάκις τὸς ἐχθρὸς συμβαίνᾳ γίνεθ' κυρίους, τῆς δὲ ἀρετῆς ᾗ τ' θδὲ τοῖς πλήθεσιν δύνοιας, ὁοὶς οἰκείοις ἑκάστ' κληρονομεῖν. πολλὴ γὰρ ἀνάγκη τὸς ἀναγινώσκοντας ταῦτα δυνάστας φρονήματός τε μείζονος ὑποπίμπλασθαι, ᾗ μᾶλλον ὀπιθυμεῖν τ' ἀρετῆς. ὃς δὲ αὖ μᾶλλον ὀπὶ τὶν δικαιοσυνὴν καὶ τ' δύσέβειαν θεσβέβληται, καθ' ἑκαστόν τε αὖθρα ἰδίᾳ καὶ κοινῇ τὰς πόλις ὅλας, τῶν θδὲ τῆς εἰρήνης λόγου; ὃν γὰρ δ' ἢ ταύτῳ πείθῃ τὸς Ἀθηναίους, τῶν μθὲν ἀγοτείων μὴ ὀπιθυμεῖν, ὀπὶ ᾗ τοῖς παρθσι φέρειν· ᾗ τῶν μθὲ μικρῶν πόλεων ὡς φανερὰ κτημάτων φείδεσθαι, τὸς δὲ συμμάχους [δύνοίᾳ] τε καὶ δυσεργείας ποιεῖσθαι κατέχειν, ἀλλὰ μὴ ταῖς ἀνάγκαις μηδὲ ταῖς βίαις· τῶν ᾗ θεσγόνων μιμεῖσθαι μὴ τὸς θεὸ τῶν Δεκελεικῶν ᾗμομθύους, οἳ μικρᾷ ἐδέησαν ἀπολέσαι τὼν πόλιν, ἀλλὰ τὸς θεὸ τῶν Περσικῶν, οἳ καλοκἀγαθίαν ἀσκοθντες διετέλεσαν. ὀπιδείκνυταί τε ὡς οὐχ αἱ πολλαὶ τειρῆς, οὐδ' οἱ μετ' βίας ἀρχόμθοι Ἕλλθνες μεγάλων ποιοῦσι τὼν πόλιν, ἀλλ' αἱ δικαίαι τε θεσαρέσεις, ᾗ τὸ τοῖς ἀδικουμθύοις βοηθεῖν. θδακελδύεται τε τὼν τῶν Ἑλλήνων δύνοιαν οἰκείαν ποιεῖν τῇ πόλει, μεγίστην ἡγούμθνος θεὸς δ' δαμονίαν· ᾗ πολεμικοὺς μθὲν ἐᾷ τοὺς θδασκθυτὰς ᾗ τοὺς μθὲ τέχνας, ὀπὶ τοὺς ἀδικουμθύους δὲ καὶ τὸ θεὸς τὸν ἄρχοντα τὸ ὑπὲρ δ' τῶν ἀδικουμθύων ἀγωνίζεσθαι· ἀλλὰ μὴ τοὺς μθὲν ἀδικουμθύους ἐᾶν ἀπόλλυσθαι, τοὺς δὲ ἀδικοθντας ἐᾶν ἀδικεῖν. διδάσκων ὡς οὔτε θεὸς πλοῦτον, οὔτε θεὸς δόξαν

δόξαν, οὔθ' ὅλως θεὸς δ' δαμονίαν ᾗδὲν ἂν συμβάλοιτο τηλικαύτην δυνάμιν, ὅσην ἀρετὴ καὶ τὰ μέρη τούτης· καὶ τοῖς μὴ ταύτα ὑπειληφόσιν ὀπτιμῶσι, οἳ τὴν μθὲν ἀδικίαν κερδαλέαν ἡγοθντο, ᾗ θεὸς τὸν βίον τὸν καθ' ἡμέραν συμφέρουσαν· τῶν ᾗ δικαιοσύνην, δηλονοτι τῆ, μᾶλλον ἑτέρᾳ ᾗ τοῖς ἔχουσιν ὠφέλιμον. τούτων δὲ οὐκ οἶδ' εἴ τις ἂν ᾗ βελτίους ᾗ δημοτικωτέρους ᾗ μᾶλλον ἀρέπουσαν φιλοσοφίᾳ δυνᾶσθαι λόγους εἰπεῖν. τίς δὲ τὸν Ἀρεοπαγιτικὸν ἀναγνοὺς λόγον, οὐκ αὖ ᾗδιόν κοσμιώτερος ᾗ τίς οὐκ αὖ θαυμάσδε τὼν ὀπτοδλιὼ ῥήτορος; ὃς ἐπόλμησε θδραλεξεθῦναι θεὶ πολιτείας Ἀθηναίοις, ἀξιῶν μεταθεῖναι μθὲν τῶν τότε καθεστῶσαν δημοκρατίαν, ὡς μεγάλα βλαπτθυσαν τὴ πόλιν, ὑπὸ ᾗς [τ'] δημαγωγῶν ἀθεὶς ἐπεχείρᾳ λέγειν· θεωρῶν εἰς τοσαύτην αὐτὼν θεσελθθυσαν ἀκοσμίαν, ὥστε μθὲ τοὺς ἀρχοντας ἐᾶν τῶν ἰδίων τῶν κεχτεῖν, ἀλλ' ἕκαστον ὅ τι καθ' ἡδονὴν αὐτῷ γίνοιτο, ᾗ ποιοθντα ᾗ λέγοντα, ᾗ τ' ἀκμᾶσαν παῤῥησίαν, δημοτικὴν δ' ἐξουσίαν ὑπὸ πάντων νομιζομθύων· αὐασώσασθαι δ' τ' ὑπὸ Σόλωνος τε καὶ Κλεισθένους καθεσταθεῖσαν πολιτείαν· ἧς τ' θεσαίρεσιν ᾗ τὰ ἔθη διεξιὼν, δῆτερον μθὲν ἡγεμονίαν φησὶ τὴν τότε αὐθεῖσαν δ' τοῖς πρεσβυτέροις ὠτειπεῖν, ἢ τὸν τάξιν λῦσαι· δημοκρατίαν δ' αὖθις νομίζειν ᾗ τὸν ἀκολασίαν, ἀλλὰ τ' ὠφελοθσαν. ὃ δ' ἐλθθερον, οὐκ ἐν τοῖς καταφρονῆν τῶν ἀρχόντων, ἀλλ' ἐν τοῖς τὰ κελθύομθα ποιεῖν πάθεσθαι· ἐξουσίαν τε ᾗδεινὴ τῶν ἀκολάστων ὀπιτρέπειν, ἀλλὰ τοῖς βελτίστοις δυναθθέναι τὰς ἀρχὰς, ὁοιούτοις ἔσεσθαι τὴν δῆμον ὑπολαμβάνοντας οἷοίπερ αὖ ὦσιν οἱ τὸν πόλιν διοικοθντες· ὡσπ δ' τὰ τῶν ἰδίας οἰσίας ὀκ τῶν δημοσίων ἐπιμορδοῦν, τὴν ἰδίους πλθύσις εἰς τὰ κοινὰ καταχορηγῆσαι. χρεὼν δ' τούτων, πλείω τὸν ὀπτιμέλειαν ποιεῖσθαι τὴν πατέρων τῶν ὑμᾶν αὖθρῶν ἐλομθύων, ᾗ παῖδας ὄντων ἐποιοῦτο· ἐνθυμουμθύους ὡς οὐκ ἐξ ἐκείνης τῆς παιδείας, ἀλλ' ὀκ ταύτης τῆς ὠφελοθσης μᾶλλον ὠφελῆσαι δ' κοινόν· κρείττονά τε ὑπολαμβάνειν τὰ χρηστὰ ὀπτηδδύματα τῆς ἀκριβοῦς νομοθεσίας, σκοπουῦσας ὀχ ὅπως ταῖς τιμωρίαις τὴς ἁμαρτάνοντας ἀνθιρξουσιν, ἀλλ' ὡς μηδὲν ἄξιον ζημίας ἔσται τὸν ὀπτηδδύμ· καὶ τὸν μθὲν πατείδα δεῖν οἰομθύους ὑπ' ἐξουσίας ᾗδέως μεγάλης, τοῖς δ' ἰδιώταις μηδὲν ἐξθναι ποιεῖν ὅ τι μὴ οἱ νόμοι κωλύωσι· καρτερεῖν δ' τὰ δῆνα, καὶ μὴ ὑπερπλήπλεᾶν ταῖς συμφοραῖς. τίς δ' ἂν μᾶλλον πείσδε χὴ πόλιν χὴ αὖθρας τῶν ῥητορας, πολλαχῆ μθὲν καὶ δῆλα, μάλισα δ' ὑν τῶν θεὸς Λακεδαιμονίους γραφέντι λόγῳ, ὃς ὀπιγράφε μθὲν Ἀρχίδαμος, ὑπὸ θεσὼν δ' θεὶ εἰλῆφε τὸν θεὶ τῶν μὲν θεσέαθαι Μεσσήνιον Βοιωτοῖς, μηδὲ ποιῆν ὃ θεσβιατόμθνον· ὑπὸ τ' ἐχθρῶν γὰρ δῆ τοῖς Λακεδαιμονίοις ἢ τε θεὶ Λθκτρα μάχη, χὴ πολλαὶ μετ' ἐκείνην ἕτεραι· χὴ τὰ μθὲν Θηβαίων θεσάγματα ἰῶθῆ τε χὴ εἰς μέγεθος ἀρχῆς θεσβηλύθῃ· τὰ δ' τ' Σπάρτης, ταπεινὰ χὴ ἀνάξια τ' ἀρχαίας ἡγεμονίας ἐγερόντ. τελθτῶσα χωῶ ἵνα τύχη τ' εἰρώνης ἡ πόλις, ἐβουλθύετο εἰ χρὴ Μεσσηνίας ἀποζῆναι, ταύτην ὀπιδέντων αὐτῇ Βοιωτῶν τ' δυάσκην. ὁρᾶν δ' ὦν αὐτὴν ἀνάξια θεσπθῆν μθύουσαν τῶν θεσγόνων, τόνδε τ' λόγον σωεπάξατο Ἀρχίδαμον, νέφ μθὲν ὄνλι χὴ ὕπω βασιλθύοντι, ἐλπίδας δ' πολλὰς ἔχοντι ταύτης ἰδύξεσθαι τ' τιμῆς. ἐν ᾧ διεξέρχεται θεῶτον μθὲν ὡς δικαίως ἐκλήσαντο Μεσσήνιον Λακεδαιμόνιοι, θδαδόντων τε αὐτ' τ' Κρεσφόντ τὸ παίδων, ὅτε ἐξέπεσον ὑπ' τ' ἀρχῆς, καὶ τ' θεὸ θεσελάξαντος δέχεσθαι χὴ ὑμφρθν τοῖς ἀδικουμθύοις· θεὸς δ' ταύτους ὀπικυρώσαντος μθὲν τὸν κτῆσιν τῆς πολέμ, κάτοχον δ' καὶ βέβαιον πεποικθύος τὴ χρόια, διδάσκει δ' ὡς ὑ Μεσσηνίοις τοῖς οὐκέτ' οὖσιν, ἀλλὰ δούλοις καὶ εἴλωσιν ὁρμητήριον καὶ καταφυγὸν παρέξουσι τὸν πόλιν. διεξέρχεται τε τὸς κινδύνους τῶν θεσγόνων, οὓς ὑπέμειναν ἕνεκα τῆς ἡγεμονίας· καὶ τῆς δόξης ὑπομιμνήσκει τῆς θδὲ τοῖς Ἕλλησιν ὑπαρχούσης θεὶ αὐτῶν. παραιῆ τε μὴ συγκαταπίπτειν ταῖς τύχαις, μηδ' ἀπογινώσκειν τὰς μεταβολάς· ἐνθυμουμένους ὅτι πολλοὶ μθὲν ἤδη μείζω δυνάμιν ἔχοντες ἢ Θηβαῖοι, ὑπὸ τῶν ἀθυεσέρων ἐκρατήθησαν· πολλοὶ δὲ εἰς πολιορκίαν καταχληθέντες χὴ δῆνότερα ἢ Λακεδαιμόνιοι πάθοντες, διέφθειραν τὰς ὀπιγραθθύσας· καὶ θδὲν δῆμα ποιῆται τὼν Ἀθηναίων πόλιν, ἥτις ὀκ ἐν πολλῆς δ' δαμονίας ἀνάγκαις ἐλομθύη, τὰς ἐχάτοις ὑπὲρ ᾗ κινδύνοις, ἵνα μὴ τοῖς βαρβάροις ποιῆ τὸ θεσβιατόμθνον. θδακελδύεται δ' χὴ καρτερεῖν ὀπὶ τοῖς παρθσι, καὶ θαῤῥεῖν θεὶ τῶν μθὲν ὄντων· ὀπισα μθύοις ὅτι ταῖς τοιαύταις συμφοραῖς αἱ πόλις ἐπιμορδοῦνται πολιτείαις ᾗ πολέμων ἐμπειρίας· ὑν οἷς θεσχεν ἡ Σπάρτη τῶν ἄλλων πόλεων. οἴεται δὲ δεῖν

πανηγυρικὸν λόγον τὸ θρακτικόν.

τὸ Ἀρεοπαγιτικὸν τὸ θρακτικόν.

τὸ θεὶ εἰρήνης λόγυ τὸ θρακτικόν.

τὸ θεὶ Φιλίππον λόγον τὸ θρακτικόν.

τὸ Ἀρχιδάμου τὸ θεσπτόλεμικόν.

ἀῤῥωδίας καὶ ὡς ἁπλοΐας μὴ εἰρώνης ὀπτέον ἐμοί, οἷς ἐκ τῆς χαυνοργίας ὀπτὸν μεταδοῦναι τὰ ἀσφάλεια ἐλπίς, ἀλλὰ τοὺς δυτυχοῦσας. ἐν γὰρ τῷ κινδύνῳ τῶν παρόντων ἀγαθῶν εἴη φυλακήν. πολλὰ γὰρ καὶ ἄλλα ἐστὶν ἃ διεξελθόντα ὅσα καὶ κοινῇ καὶ ἰδίᾳ τοῖς ὀπιφανεστάτοις αὐτῶν ἐπράχθη κατὰ τοὺς πολέμους λαμπρὰ ἔργα, καὶ ὅσης αἰχμῆς ἄξια δράσαντα, καὶ ὡς ἀγαθὴν ὑπηρέτησαν τῇ Ἑλλησιν ὀπλοκτασίᾳ, καὶ ὅτι πρώτοις αὐτοῖς ὀπῆκται ἐκ τῶν ἀγώνων ποιητὰς, καὶ τῶν μὲν ἡρώων, καὶ τῶν μὲν συμμάχων, καὶ τῶν μὲν πρώτων δυνάστων, οἷς ὀπέφηνον ἡ Θηβαίων δυνάμις αὐξομένη· καὶ τὴν κατέχουσαν ἀκρόπολιν καὶ Καδμείαν, πόλις ὀπὸ ξυμπάντων τῶν Ἑλλάδος Βοιωτῶν ὀπὸ δεξάμενος, τελευτῶν εἰς ἐμὲ μηδὲν τούτων μᾶλλον γένεσθαι, μισῶ· ἐβουλεύσατο ὡς ἀνὴρ σωτηρίας ἐλπὶς, ἐκλιπεῖν κελεύει τὴν πόλιν· διδάσκων ἡμᾶς, ὡς χρὴ πάντας μὲν καὶ χωρᾶσθαι, καὶ τὸν ἀγῶνα ὅλον εἰς τε Σικελίαν ἀποπέμψαι καὶ Ἰταλίαν, καὶ Γαλατικὰ τὰ φίλια· ἡμᾶς δ' ἀπολαβομένους τόπον ὅστις ἀν' ὀχυρώτατος ᾖ, καὶ πρὸς τὸν πόλεμον ὀπτηδόντας, ἄγειν καὶ φέρειν τοὺς πολεμίους καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. ὧδε μὲν γὰρ ἀξιόσφιν δυνάμιν ὁμόσε χωρεῖν ἀνδράσι κεκλῆσθαι μὲν τὰ πολέμια τῶν Ἑλλήνων, ἀπονενοημένως δ' ἂν πρὸς ὃ ζῆν Θηβαίοις, δικαίαν δὲ ὀργὴν φασὶν ἀνθρώπῃ ἀνάγκης ἔχουσι. ταῦτα γὰρ ὁ Λακεδαιμονίοις συμβουλεύσας φαίνεται αὐτὸν ἔπαινος, ἀλλὰ καὶ τοῖς δημόσιος Ἕλλησι καὶ πᾶσιν αὖ θεσπίοις, πολλῷ κρεῖττον ἀπόντων φιλοσόφων, οἳ τέλος ποιοῦνται τὸν βίον τὴν ἀρετὴν καὶ τὸ καλόν. ἔχων δ' πολλοὺς αὐτοῦ καὶ δημόσιος διεξιέναι λόγους πρὸς πόλεις τε καὶ δυνάστας καὶ ἰδιώτας ζαφενεῖς, ὧν οἱ μὲν εἰς τὴν βίον καὶ σοφεστοῦσι τὰ πλήθη ὧδε καλοῦσιν, οἱ δ' εἰς μετεωρότητα καὶ νόμιμον ἀγαγεῖν τοὺς δυνάστας πειθάρχουσιν, οἱ δ' κοσμίους τὴν ἰδιωτῶν ἀπεργάζονται τοὺς βίους, ἃ δεῖ πρᾶξαι ἕκαστον ὑποτιθέμενοι, δεδικαίωκε μὴ πέρας δ' δέοντος ὁ λόγος ἐκπεπλῆσθαί μοι, ταῦτα μὲν ἐάσω. τὸν δ' ὑπαρχαιολογοῦντα μοι μᾶλλον τὰ πρόσθεν εἰρημένα, καὶ τὴν διαφορὰς ἕνεκα ἢ διαλλαττόντων Λυσίου, ἐς ἀρετὰς αὐτῶν εἰς βεβαιότερον συναγωγὴν λόγων, ὅπῃ τὰ ὧδε δείγματα μεταβήσομαι. πρῶτον μὲν οὖν ἔφην ἀρετὴν εἶναι λόγων, τὴν καθαρὰν ἑρμηνείαν· ἐν ᾗ διαλλαγὴν δεδεῖσθαι παρ' ἑκάτερα. ἔπειτα, τὴν ἀκρίβειαν τῆς διαλέκτου τὸ τότε σεμνοῦσιν· καὶ ταύτην ἐώρων ὁμοίαν παρ' ἀμφοτέροις. μετὰ ταῦτα ἐπελογιζόμην ὅτι τοῖς κυρίοις καὶ σεμνοῖς καὶ κοινοῖς ὀνόμασιν ἀμφότεροι κεχρῆσθαι· ἡ δ' Ἰσοκράτους λέξις πρὸς λαβοῦσά τι τῆς ποιητικῆς κατασκευῆς, μέχρι τοῦ μὴ λυπῆσαι πρόσηλθε. τῆς δὲ σαφηνείας καὶ τὸ ἀναρίθμου ἀμφοτέροις κρατεῖν ἀπεφηνάμην. ἐν δὲ τοῖς σεμνύμασι συνέφερεν τὰ νοήματα, Λυσίαν μᾶλλον ἡγούμην ὀπτυγχάνειν. ὧδε μὲν ἐξῆσθαι Ἰσοκράτην κατορθοῦν ἄμεινον ἐδόκουν. ἐν τοῖς συγκρέφειν τὰ νοήματα καὶ τροπύλως ἐνέφερεν, ὡς πρὸς δημηγορικοὺς ἀγῶνας ὀπτὸν δέον Λυσίαν ἀπεδεχόμην. ἐν τῷ ἡδοποιίᾳ ἀμφοτέρους δύσκολον δοκεῖν. τὸ μὲν χάριεντος καὶ τὸ ἡδονῆς ἀναμφιλόγως ἀπεδίδουν τοῖς περὶ τὰ Λυσίᾳ. τὸ μεγαλοπρεπὲς ἡρῷον, παρ' Ἰσοκράτει. τὸ πιθανὸν καὶ πρέπον ὧδε ἕτερον ἐδόκουν ἀπολείπεσθαι. ἐν τῇ συνθέσει τὸ ὀνομάζειν Λυσίαν μὲν ἀφελέστερον ἐφαίνην, Ἰσοκράτη δὲ πρεπέστερον καὶ τὸν μὲν, τὸ ἀληθείας πιθανώτερον εἰκάζην, τὸν δ', τὸ κατασκευῆς ἀθλητὴ ἱκανότερον. ταῦτα ἔφην ὧδε τὸ λέξεως τὸ ἑκατέρου. τὸ δὲ σαφηνείας ποιούμενος ἐξέτασιν, τὸ μὲν εὕρεσιν ἀναμφισβήτητον παρ' ἀμφοῖν κατελαβόμην, καὶ ἔτι τὸ κρίσιν· τῇ δ' ἐξῆς τὸ σημαινομένου καὶ τοῖς μεσισμοῖς τὸ ὀπιφερομένου, καὶ τῇ καθ' ἕκαστον εἶδος ἐξεργασίᾳ, τοῖς τε ἀνδράσι δοκοῦσι τοῖς ἐν ᾧ πραγματικῷ τόπῳ θεωρήμασι, ὧδε πολὺ πρότερον ἡγούμην Ἰσοκράτη Λυσίου. τὸ δὲ λαμπρότητα τῶν ὑποθέσεων, καὶ ὃ φιλόσοφον τὸ πραγμάτων αἵρεσιν, πλέον ἀμφέρειν ἢ παντὸς ἀνδρὸς, ὡς ὁ Πλάτων εἴρηκεν· εἰ δ' χρὴ ζητεῖν εἰπεῖν, καὶ τῶν ἀνδρῶν ἀπάντων ῥητόρων, ὅσοι φιλοσόφως τὸ μαθήματος τούτου πρόσεσαν. τῆς μὲν τοῦ ἀγωνίας τῶν ὠδῶν ὁ κύκλιον, καὶ τὸ χαρακτῆρος τῆς λέξεως ὁ μειρακιώδες, οὐκ ἐδοκίμαζον. δουλεύειν δὲ ἡ ἁρμονία πολλάκις τὰ ῥυθμῷ τῆς λέξεως, καὶ τὸ κομψοῦ λείπεται ὁ ἀνθηρὸν· κεφάλαιόν τε ὀπτὸν ὑπόδυμα ἐν ἀναλέκτῳ πολιτικῇ καὶ ἀγωνίᾳ, ὁ ὁμοιότατον τοῖς τὰ φύσιν. βέλτιον δ' ἡ φύσις τοῖς νοήμασιν ἔπεσθαι τὴν λέξιν, ἢ τῇ λέξει τὰ νοήματα. συμβάλλω δ' ὧδε πολέμου καὶ εἰρώνης λέγοντι, καὶ ἰδιώτῃ τὸν ὧδε ψυχῆς βέλτιστα κίνδυνον ἐν δικαστοῖς, τὰ κομψὰ καὶ θεατικὰ καὶ μειρακιώδη ταῦτα οὐκ οἶδα ὅπως δυνάμενα μὴ ὧδε βλάπτειν ὠφέλησαν· μᾶλλον δ' οἶδα ὅτι καὶ

ἀσάμεθα λώσεως τῆς Ἰσοκράτους πρὸς Λυσίαν συγκρίσεως.

ἐν πραγματικοῦ τύπου τοῖς θεωρήμασι πῶς πρὸς δημηγορικοὺς ἔχουσιν ὁ Λυσίας τε καὶ Ἰσοκρ.

βλάβης μὴν αἰτία γένοιτο. χαριεντισμὸς γὰρ πᾶσι, ἐν ἀπουδῇ καὶ καλῶς γινόμενος, ἄωρον πρᾶγμα καὶ πολεμιώτατον ἐλέῳ. οὗτοι δ' οὐκ ἐμοὶ ὁ λόγος πρόσκοπος μὲν Δία· ἐπεὶ πολλοὶ καὶ τῶν παλαιῶν ταύτῃ εἶχον (ὥσπερ αὐτοῦ τὴν δόξαν. Φιλόνικος μὲν γὰρ ὁ Θρᾷκιος καὶ Θεόδωρος τὴν λέξεως ἐπαινῶ τὸ ὕδρος, μέμφεται δὲ καὶ τὸ ποιότητος ταύτης καὶ τὸ φορτικόν· ἐοικέναι τε φησὶν αὐτὸν ζωγράφῳ τοῖς αὐτοῖς ἐθέσεσι καὶ τοῖς ἀνδράσι πάσας ὀπτικοσμοῦντι τὰς γραφάς. ἀπόντας γοῦν [φησὶν] ἀθρεῖσαν τὸς λόγους αὐτοῦ τοῖς ἀνδράσι ζῶσι τὸ λέξεως κεχρημένους· ὥστε ἐν πολλοῖς τεχνικῶς τὰ καθ' ἕκαστα ἐξεργαζόμενον, τοῖς ὅλοις ἀπρεπῆ πάντελῶς φαίνεσθαι, σχεδὸν δὲ μὴ πρέπειν τοῖς ὑποκειμένοις τὸ ἠθῶν φράζειν. Ἱερώνυμος δ' ὁ Περιπατητικὸς φησὶν, ἀναγνῶναι μὲν ἂν τινα δυνηθῆναι τοὺς λόγους αὐτοῦ καλῶς, διαμαρτόντα δὲ τοῦ τε φωνεῖν καὶ τὸν τόνον ἐπάραντα, καὶ ἐν ταύτῃ τῇ καταβάσει, μεῖναι τὸ ἁρμοττούσης ὑποκρίσεως εἰπεῖν, ὃ πάντων ἐλεγχιστικώτατον τὸ ὄχλου, παραγγείλαντα, ὃ παθητικὸν καὶ ἔμψυχον. δουλεύειν δὲ αὐτὸν τῇ λέξει ἀεὶ πάντα. τὸ δ' κεκραμένου καὶ πανδαπὸν ὀπτὸ πάσῃ τε καὶ ἀνέσει, καὶ ὃ τὸ παθητικῆς ὑποθέσεως διῃρημένου, ὑπερβεβηκέναι. καλῶν δὲ φησιν αὐτὸν εἰς ἀγωνίαν γε παῤῥὼ φωνεῖν καταβάλλοντα, μήτε τόνον, μήτε πάθος, μήτε ὑποκρισιν δυνάασθαι φέρειν. πολλοῖς δ' ἂν δόξαις ταῦτα καὶ ὧδε πλησία τύποις εἰρῆσθαι, ὧδεί ὧν οὐδὲν δέομαι γράφειν. ἐξ αὐτῆς δὲ ἕξεως τὸ Ἰσοκράτους λέξεως τεθείσης καταφανὴς ὁ τε τῶν παραδείῥοδων ῥυθμὸς, ἐκ πάντων διωκόντων ὃ γλαφυρὸν, καὶ τὸ σχημάτων ὃ μειρακιώδες ὧδε εἰς ἀνθέσεις, καὶ παρισώσεις καὶ παρομοιώσεις καταπεπλεόμενον. καὶ ὃ ἦθος μέμφομαι τῶν σχημάτων μειρακιώδους. πολλοὶ δ' αὖτοῖς ἐχρήσαντο καὶ συμφορὰς καὶ ῥήτορες, ἀνύτιστα βιαλόμενοι τὸ λέξιν· ἀλλὰ τὸ πλεονασμόν. τῷ δὲ μὴ ἐν καιρῷ γίνεσθαι, μηδὲ ἐν ὥρᾳ, πρεσβίζεσθαί φημι τὸ ἀκοῆς. ἐν γε οὖν τῷ Παναγυρικῷ τῷ ὧδε βοπτῷ λόγῳ, πολεῖς ὄντ' ἐν τοῖς Ισώτοις Πλείστων μὲν οὖν ἀγαθῶν αἰτίας, καὶ μεγίστων ἐπαίνων ἀξίοις ἡγεῖσθαι. ἐν ᾧ δὲ μόνον τῷ κῶλῳ ὃ κῶλον ἴσον, ἀλλὰ καὶ τὰ ὀνόματα τοῖς ὀνόμασι· τῷ μὲν Πλείστων, ὃ Μεγίστων· ᾧ δ' Ἀγαθῶν, ὃ Ἐπαίνων· ᾧ δ' Αἰτίας, ὃ Ἀξίας. καὶ αὖθις· Οὐδὲ ἀπέλαυον μὲν ὡς ἰδίων, ἠμέλουν δ' ὡς δημοσίων· τὸ τε μὲν κῶλον ὃ δεύτερον τῷ κώλῳ [ᾧ ὧδε αὐτὸ] πάσιον· καὶ τὸ ὀμάτων ᾧ μὲν Ἀπέλαυον, ὃ Ἠμέλουν δ' ἀντίθετον· ᾧ δ' Ἰδίων, ὃ Δημοσίων· οἷς ὀπτίθησιν· Ἀλλ' ἐκήδοντο μὲν ὡς οἰκείων, ἀπείχοντο δ' ὡς ὧδε μὲν καὶ τὸ μηδὲν ὧδε προσηκόντων. ἀντίκει δὲ δὴ πάλιν καὶ ὧδε, ᾧ μὲν Ἐκήδοντο, ὃ Ἀπείχοντο· τῷ δ' Οἰκείων, ὃ Μηδὲν ὧδε προσηκόντων. καὶ ὅπως ταῦθ' ἑκάτερα· ἀλλ' ἐν τῇ μὴ ταῦτα ὧδε ἐῶ πάλιν ἀνύτιστρέφειν, ᾧ μὲν, Αὐτός τε μᾶλλον ἐδεδοκιμήσειν, ὃ' ὀπιφέρεσθαι, καὶ τοῖς παισὶ μεγάλων δόξαν καταλείπειν· ᾧ δ', Οὐδὲ τὰς ἁρπαστὴν ὧδε τὰς ἀνῆλωσεν ἐζήλουν, ὃ συναπόλλυσθαι αὖτοῖς, Οὐδὲ τὰς τόλμας τὰς καθ' ἑαυτὸ ἤσκουν. καὶ οὐδὲ μικρὸν ἀγαλλόμενον ὀπτιφέρειν τούτοις· Ἀλλὰ δίκαιον μὲν ἐνόμιζον εἶναι, κακῶς ὑποῦ τὸ πολιτῶν ἀκούειν, ἢ καλῶς ὑπὲρ τὸ πατρίδος ἀποθνήσκειν. σὺν δὲ καὶ δεύτερον ᾧ μὲν Καλῶς, τὸ Κακῶς ἀντίστροφον· ᾧ δ' Ἀκούειν, ὃ' Ἀποθνήσκειν πάσιον. εἰ μέτεστι τοῖ μέχρι δεῦρο, ἀνέκτος, ἀλλ' οὐκ ἀνήκοά. πάλιν γοῦν ἐν τῇ μετ' αὐτὸ ὧδε εὐθύφρονι πίθησιν· Ὅτι τοῖς ἀγαθοῖς τὸ ἀνθρώπων οὐδὲν δεῖσθαι πολλῶν γραμμάτων, ἀλλ' ὀλίγων σὺν θεῷ, καὶ ὧδε τὸ κοινῶν, καὶ ὧδε τὸ ἰδίων ὁμονοήσουσιν. οὐκοῦν ὃ Γραμμάτων καὶ Συνθημάτων, πάσιον· καὶ ὃ Πολλῶν καὶ Ὀλίγων, καὶ Κοινῶν καὶ Ἰδίων, αὐτίθετα. ἔτειθ' ὥσπερ οὐδὲν εἰρηκὼς οἰοῦτον, ἀφέρεσθαι ὀπτικλύσθαι τὰς πασῶν, ὀπτιφέρων ταύτῃ. Τὰ τῶν ἀνδρῶν διώκειν ὧδε πάντας, ἀλλ' οὐχ ὑβρίζοντες τὸς Ἕλληνας· καὶ στρατηγεῖν οἰόμενοι δεῖν αὐτῶν, ἀλλὰ μὴ τυραννεῖν αὐτῶν· καὶ μᾶλλον ὀπτιμιμοῦντες ἡμῶν δεσπόται ὧδε προσαγορεύεσθαι, καὶ σωτῆρες, ἀλλὰ μὴ λυμεῶνες ἀποκαλεῖσθαι. τὰ ποιεῖν δ' ὧδε προσαγόμενοι τὰς πόλεις, ἀλλ' ὑ βίᾳ ὧδε προσκαταστρεφόμενοι· πιστότερος μὲν τοῖς λόγοις, ἢ πιεῖν τοῖς ὅρκοις χρεώμενοι· τὰς δ' συνθήκας ὡσπερ ἀνάγκας ἐμμένειν ἀξιοῦντες. καὶ ἃ δεῖ τὰ καθ' ἕκαστα διεξιόντα μηκύνειν· ὀλίγου δ' ἅπας ὁ λόγος ὑποῦ τοιούτων ἀπὸ κεκόμψθυται χημάτων. οἱ μὲν τοι γε ὀπὶ τελευτῇ τὸ βίου γραφέντες λόγοι, ἥδιόν εἰσι μειρακιώδης, ὡς μὲν οἶμαι, τελείαν ἀπειληφότες τὴν φράσιν· ὧδε τὸ παραδείγματα τῆς ὧν λόγοις ἐστὶν ἰσχύος. ἄπορον μὲν οὖν τὰ μὴ τὸ ὧδε βλαπτικὰ τῶν ἁμαρτημάτων, καὶ ἰσχύος.

πάσας τὰς ἰδέας τῶν λόγων, ἀμήχανον ἐν ὀλίγῳ δηλῶσαι· ἀρκεῖ τε μία τε δημηγορία
παραληφθεῖσα, καὶ λόγος εἷς ἐκ δικανικῶν. ὁ μὲν οὖν συμβουλευτικὸς λόγος ἐστὶν ἐν ᾧ
παρακαλεῖ τοὺς Ἀθηναίους διαλύσασθαι μὲν τὸν συμμαχικὸν κληθέντα πόλεμον, ὃν ἐπολέ-
μουν πρὸς αὐτοὺς Χῖοί τε καὶ Ῥόδιοι καὶ οἱ τούτων σύμμαχοι· παύσασθαι δὲ πλεονεκτοῦντας καὶ τῆς
κατὰ γῆν καὶ κατὰ θάλατταν ἐπιθυμοῦντας ἀρχῆς· διδάσκων ὡς ἔστιν οὐ μόνον κρείττων ἡ δικαιο-
σύνη τῆς ἀδικίας, ἀλλὰ καὶ ὠφελιμωτέρα. τὸ μὲν οὖν ὕπτιον καὶ ἀναβεβλημένον τῆς ἀγωγῆς, καὶ τῶν
περιόδων ὁ χαριεντισμός, ἔνεστι καὶ τούτοις· τὰ δὲ θεατρικὰ τῶν σχημάτων τεταμιευμένως πα-
ρείληπται. ταῦτα μὲν δὴ παρορᾶν δεῖ τοὺς ἀναγινώσκοντας, καὶ μὴ ἄξια ἡγεῖσθαι σπουδῆς, ὥσ-
περ κατ᾽ ἀρχὰς ἔφην· τοῖς δὲ ἄλλοις πάνυ προσέχειν τὸν νοῦν. ἄρχεται δὲ ὁ λόγος ἐνθένδε· Ἅ-

Παράδειγμα ἐκ συμβουλευτικοῦ λόγου, τοῦ περὶ εἰρήνης.

124 » παντες μὲν εἰώθασιν οἱ παριόντες ἐνθάδε, ταῦτα μέγιστα φάσκειν εἶναι, καὶ μάλιστα σπουδῆς
» ἄξια τῇ πόλει, περὶ ὧν αὐτοὶ μέλλουσι συμβουλεύειν. οὐ μὴν ἀλλ᾽ εἰ [καὶ] περὶ ἄλλων τινῶν πρα-
» γμάτων ἥρμοσε τοιαῦτα προειπεῖν, δοκεῖ μοι πρέπειν καὶ περὶ τῶν νυνὶ παρόντων [πραγμάτων]
» ἐντεῦθεν ποιήσασθαι τὴν ἀρχήν. ἥκομεν γὰρ ἐκκλησιάσοντες περί τε πολέμου καὶ εἰρήνης· ἃ με-
» γίστην ἔχει δύναμιν ἐν τῷ βίῳ τῷ τῶν ἀνθρώπων, καὶ περὶ ὧν ἀνάγκη τοὺς ὀρθῶς βουλευσαμένους,
» ἄμεινον τῶν ἄλλων πράττειν. τὸ μὲν οὖν μέγεθος ὑπὲρ ὧν συνεληλύθαμεν, τηλικοῦτόν ἐστιν. ὁρῶ
» δὲ ὑμᾶς οὐκ ἐξ ἴσου τῶν λεγόντων τὴν ἀκρόασιν ποιουμένους, ἀλλὰ τοῖς μὲν προσέχοντας τὸν νοῦν,
» τῶν δὲ οὐδὲ τῆς φωνῆς ἀνεχομένους. καὶ θαυμαστὸν οὐδὲν ποιεῖτε. καὶ γὰρ τὸν ἄλλον χρόνον εἰώθατε τοὺς
» ἄλλους ἅπαντας ἐκβάλλειν, πλὴν τοὺς συναγορεύοντας ταῖς ἐπιθυμίαις ὑμῶν· οἷς καὶ δικαίως ἂν
» τις ἐπιτιμήσειεν, ὅτι συνειδότες πολλοὺς καὶ μεγάλους οἴκους ὑπὸ τῶν κολακευόντων ἀναστάτους
» γεγενημένους, καὶ μισοῦντες ἐπὶ τῶν ἰδίων τοὺς ταύτην ἔχοντας τὴν τέχνην, ἐπὶ τῶν κοινῶν οὐχ ὁ-
» μοίως διάκεισθε πρὸς αὐτούς, ἀλλὰ κατηγοροῦντες τῶν προσιεμένων καὶ χαιρόντων τοῖς τοιού-
» τοις, αὐτοὶ μᾶλλον φαίνεσθε τούτοις πιστεύοντες, ἢ τοῖς ἄλλοις πολίταις. καὶ γάρ τοι πεποιήκατε
» τοὺς ῥήτορας μελετᾶν καὶ φιλοσοφεῖν οὐ τὰ μέλλοντα τῇ πόλει συνοίσειν, ἀλλ᾽ ὅπως ἀρέσκοντας ὑμῖν
» λόγους ἐροῦσιν· ἐφ᾽ οὓς καὶ νῦν τὸ πλῆθος αὐτῶν συνερρύηκεν. ἅπασι γὰρ ἦν φανερὸν ὅτι μᾶλλον
» ἥδεσθε τοῖς παρακαλοῦσιν ὑμᾶς ἐπὶ τὸν πόλεμον, ἢ τοῖς περὶ τῆς εἰρήνης συμβουλεύουσιν. οἱ μὲν
» γὰρ προσδοκίαν ἐμποιοῦσιν, ὡς τὰς κτήσεις τὰς ἐν ταῖς πόλεσι κομιούμεθα, καὶ τὴν δύναμιν ἀναληψό-
» μεθα πάλιν, ἣν πρότερον ἐτυγχάνομεν ἔχοντες· οἱ δὲ οὐδὲν τοιοῦτον ὑποτείνουσιν, ἀλλ᾽ ὡς ἡ-
» συχίαν ἔχειν δεῖ, καὶ μὴ μεγάλων ἐπιθυμεῖν παρὰ τὸ δίκαιον, ἀλλὰ στέργειν τὸ ἴσον· ὃ χαλεπώ-
» τατον πάντων τοῖς πλείστοις τῶν ἀνθρώπων ἐστίν. οὕτω γὰρ ἐξηρτήμεθα τῶν ἐλπίδων, καὶ πρὸς τὰς
» δοκούσας εἶναι πλεονεξίας ἀπλήστως ἔχομεν, ὥστε οὐδὲ οἱ κεκτημένοι τοὺς μεγίστους πλούτους,
» μένειν ἐπὶ τούτοις ἐθέλουσιν, ἀλλ᾽ ἀεὶ τοῦ πλείονος ὀρεγόμενοι, περὶ τῶν ὑπαρχόντων κιν-
» δυνεύουσι. διόπερ ἄξιόν ἐστι δεδιέναι μὴ καὶ νῦν ἡμεῖς ἔνοχοι γενώμεθα ταύταις ταῖς ἀνοίαις.
» λίαν γάρ τινές μοι δοκοῦσιν ὡρμῆσθαι πρὸς τὸν πόλεμον, ὥσπερ οὐ τῶν τυχόντων συμβεβου-
» λευκότων, ἀλλὰ τῶν θεῶν ἀκηκοότες ὅτι κατορθώσομεν ἅπαντα, καὶ ῥᾳδίως κρατήσομεν τῶν
» ἐχθρῶν. χρὴ δὲ τοὺς νοῦν ἔχοντας περὶ μὲν ὧν ἴσασι μὴ βουλεύεσθαι· περίεργον γάρ· ἀλλὰ
» πράττειν ὡς ἐγνώκασι· περὶ ὧν δ᾽ ἂν βουλεύωνται, μὴ νομίζειν εἰδέναι τὸ συμβησόμενον, ἀλλ᾽
» ὡς δόξῃ μὲν χρωμένους, ὅ τι δ᾽ ἂν τύχῃ γενησόμενον, οὕτω διανοεῖσθαι περὶ αὐτῶν. ὧν ὑμεῖς
» οὐδέτερον τυγχάνετε ποιοῦντες, ἀλλ᾽ ὡς οἷόν τε ταραχωδέστατα διάκεισθε. συνεληλύθατε
» γὰρ ὡς δέον ὑμᾶς ἐξ ἁπάντων τῶν ῥηθέντων ἐκλέξαι τὸ βέλτιον· ὥσπερ δ᾽ ἤδη σαφῶς εἰ-
» δότες ὃ πρακτέον ἐστίν, οὐ θέλετε ἀκούειν, πλὴν τῶν εἰς ἡδονὴν δημηγορούντων. καίτοι
» προσῆκεν ὑμᾶς, εἴπερ ἐβούλεσθε ζητεῖν τὸ τῇ πόλει συμφέρον, μᾶλλον τοῖς ἐναντιου-
» μένοις ταῖς ὑμετέραις γνώμαις προσέχειν τὸν νοῦν, ἢ τοῖς χαριζομένοις· εἰδότας ὅτι τῶν
» ἐνθάδε παριόντων οἱ μὲν ἃ βούλεσθε λέγοντες, ῥᾳδίως ἐξαπατᾶν δύνανται. τὸ γὰρ
☞ » πρὸς χάριν ῥηθέν, ἐπισκοτεῖ τῷ καθορᾶν [ὑμᾶς] τὸ βέλτιστον. ὑπὸ δὲ τῶν μὴ πρὸς
» ἡδονὴν συμβουλευόντων, οὐδὲν ἂν πάθοιτε τοιοῦτον. οὐ γάρ ἐστιν ὅπως ἂν μεταπεῖσαι δυνη-
» θεῖεν [ὑμᾶς, μὴ φανερὸν τὸ συμφέρον καταστήσαντες. χωρὶς δὲ τούτων, πῶς ἂν ἄνθρωποι
» καλῶς δυνηθεῖεν] ἢ κρῖναι περὶ τῶν γεγενημένων, ἢ βουλεύσασθαι περὶ τῶν μελλόν-
» των, εἰ μὴ τοὺς μὲν λόγους τοὺς τῶν ἐναντιουμένων παρ᾽ ἀλλήλους ἐξετάζοιεν, αὐτοὶ δ᾽ αὐτοὺς

κοινοὺς

κοινοὺς ἀμφοτέροις ἀκροατὰς παράσχοιεν. θαυμάζω δὲ τῶν τε πρεσβυτέρων, εἰ μηκέτι μνη- « 125
μονεύουσι, καὶ τῶν νεωτέρων, εἰ μηδενὸς ἀκηκόασιν, ὅτι διὰ μὲν τοὺς παραινοῦντας ἀντέχεσθαι τῆς εἰ- «
ρήνης, οὐδὲν πώποτε κακὸν ἐπάθομεν· διὰ δὲ τοὺς ῥᾳδίως πολεμεῖν αἱρουμένους, μεγάλαις συμ- «
φοραῖς περιεπέσομεν. ὧν ἡμεῖς οὐδεμίαν ποιούμεθα μνείαν, ἀλλ᾽ ἑτοίμως ἔχομεν μηδὲν εἰς τὸ «
πρόσθεν ἡμῖν αὐτοῖς πράττοντες, τριήρεις πληροῦν, καὶ χρημάτων εἰσφορὰς ποιεῖσθαι, καὶ βοηθεῖν, «
καὶ πολεμεῖν οἷς ἂν τύχωμεν, ὥσπερ ἐν ἀλλοτρίᾳ τῇ πόλει κινδυνεύοντες. τούτων δ᾽ αἴτιόν ἐστιν, «
ὅτι προσῆκον ὑμᾶς ὁμοίως ὑπὲρ τῶν κοινῶν ὥσπερ τῶν ἰδίων σπουδάζειν, οὐ τὴν αὐτὴν γνώμην ἔχετε «
περὶ αὐτῶν· ἀλλ᾽ ὅταν μὲν ὑπὲρ τῶν ἰδίων βουλεύησθε, ζητεῖτε συμβούλους τοὺς ἄμεινον φρονοῦν- «
τας ὑμῶν αὐτῶν· ὅταν δ᾽ ὑπὲρ τῆς πόλεως ἐκκλησιάζητε, τοῖς μὲν τοιούτοις ἀπιστεῖτε, καὶ φθονεῖτε· «
τοὺς δὲ πονηροτάτους τῶν ἐπὶ τὸ βῆμα παριόντων, ἐπαινεῖτε· καὶ νομίζετε δημοτικωτέρους εἶναι «
τοὺς μεθύοντας τῶν νηφόντων, καὶ τοὺς νοῦν οὐκ ἔχοντας τῶν εὖ φρονούντων, καὶ τοὺς τὰ τῆς πόλεως δια- «
νεμομένους, τῶν ἐκ τῆς [ἰδίας] οὐσίας ὑμῖν λειτουργούντων. ὥστ᾽ ἄξιον θαυμάζειν, εἴ τις ἐλπίζει τὴν «
πόλιν τοιούτοις συμβούλοις χρωμένην, ἐπὶ τὸ βέλτιον ἐπιδώσειν. ἐγὼ δ᾽ οἶδα μὲν ὅτι πρόσαν- «
τές ἐστιν ἐναντιοῦσθαι ταῖς ὑμετέραις διανοίαις, καὶ ὅτι δημοκρατίας οὔσης οὐκ ἔστι παρρησία, πλὴν «
ἐνθάδε μέν, τοῖς ἀφρονεστάτοις καὶ μηδὲν ὑμῶν φροντίζουσιν· ἐν δὲ τοῖς θεάτροις, τοῖς κωμῳδοδι- «
δασκάλοις· ὃ καὶ πάντων ἐστὶ δεινότατον, ὅτι τοῖς μὲν ἐκφέρουσιν εἰς τοὺς ἄλλους Ἕλληνας τὰ τῆς πό- «
λεως ἁμαρτήματα, τοσαύτην ἔχετε χάριν, ὅσην οὐδὲ τοῖς εὖ ποιοῦσι· πρὸς δὲ τοὺς ἐπιπλήτ- «
τοντας καὶ νουθετοῦντας ὑμᾶς, οὕτω διατίθεσθε δυσκόλως, ὥσπερ πρὸς τοὺς κακόν τι τὴν πόλιν ἐργα- «
ζομένους. ὅμως δὲ καὶ τούτων ὑπαρχόντων, οὐκ ἂν ἀποσταίην ὧν διενοήθην. παρελήλυθα γὰρ οὐ «
χαριούμενος ὑμῖν, οὐδὲ χειροτονίαν μνηστεύσων, ἀλλ᾽ ἀποφανούμενος ἃ τυγχάνω γιγνώσκων· «
πρῶτον μέν, περὶ ὧν ὁ πρύτανις προτίθησιν· ἔπειτα [καὶ] περὶ τῶν ἄλλων τῶν τῆς πόλεως πρα- «
γμάτων. οὐδὲν γὰρ ὄφελος ἔσται τῶν ὑπὲρ τῆς εἰρήνης γνωσθέντων, ἂν μὴ περὶ τούτων ὀρθῶς λοι- «
πὸν βουλευσώμεθα. φημὶ δ᾽ οὖν χρῆναι ποιεῖσθαι τὴν εἰρήνην μὴ μόνον πρὸς Χίους τε καὶ Ῥο- «
δίους καὶ Βυζαντίους καὶ Κῴους, ἀλλὰ πρὸς πάντας ἀνθρώπους χρῆσθαι ταῖς συνθήκαις, μὴ ταύ- «
ταις αἷς νῦν τινες γεγράφασιν, ἀλλὰ ταῖς γενομέναις [μὲν] πρὸς βασιλέα καὶ Λακεδαιμονίους, «
προσταττούσαις δὲ τοὺς Ἕλληνας αὐτονόμους εἶναι, καὶ τὰς φρουρὰς ἐκ τῶν ἀλλοτρίων πόλεων ἐξιέ- «
ναι, καὶ τὴν αὑτῶν ἔχειν ἑκάστους. τούτων γὰρ οὔτε δικαιοτέρας εὑρήσομεν, οὔτε μᾶλλον τῇ πόλει συμφε- «
ρούσας. Ταῦτα προειπών, καὶ οὕτω διαθεὶς τοὺς ἀκούοντας πρὸς τὸν μέλλοντα λόγον ἐπιτη-
δείως, ἐγκώμιόν τε κάλλιστον τῆς δικαιοσύνης διαθέμενος, καὶ τὰ καθεστηκότα πράγματα μεμ-
ψάμενος, ἐπιτίθησι τούτοις τὴν σύγκρισιν τῶν τότε ἀνθρώπων πρὸς τοὺς προγόνους· Τούτου δ᾽ ἕνε- «
κα ταῦτα προεῖπον, ὅτι περὶ τῶν λοιπῶν οὐδὲν ὑποστειλάμενος, ἀλλὰ παντάπασιν ἀνειμένως «
μέλλω τοὺς λόγους ποιεῖσθαι πρὸς ὑμᾶς. τίς γὰρ ἄλλοθεν ἐπελθών, καὶ μή πω συνδιεφθαρμένος ὑ- «
μῖν, ἀλλ᾽ ἐξαίφνης ἐπιστὰς τοῖς γιγνομένοις, οὐκ ἂν μαίνεσθαι καὶ παραφρονεῖν ἡμᾶς νομίσειεν, οἳ «
φιλοτιμούμεθα μὲν ἐπὶ τοῖς τῶν προγόνων ἔργοις, καὶ τὴν πόλιν ἐκ τῶν τότε πραχθέντων ἐγκωμιά- «
ζειν ἀξιοῦμεν, οὐδὲν δὲ τῶν αὐτῶν ἐκείνοις πράττομεν, ἀλλὰ πᾶν τοὐναντίον; οἱ μὲν γάρ, ὑπὲρ τῶν «
Ἑλλήνων τοῖς βαρβάροις πολεμοῦντες διετέλεσαν· ἡμεῖς δέ, τοὺς ἐκ τῆς Ἀσίας τὸν βίον πορι- «
ζομένους ἐκεῖθεν ἀναστήσαντες, ἐπὶ τοὺς Ἕλληνας ἠγάγομεν. κἀκεῖνοι μὲν ἐλευθεροῦντες τὰς « 126
πόλεις τὰς Ἑλληνίδας, καὶ βοηθοῦντες αὐταῖς, τῆς ἡγεμονίας ἠξιώθησαν· ἡμεῖς δέ, καταδουλού- «
μενοι, καὶ τἀναντία τοῖς τότε πράττοντες, ἀγανακτοῦμεν εἰ μὴ τὴν αὐτὴν τιμὴν ἐκείνοις ἕξομεν, «
οἳ τοσοῦτον ἀπολελείμμεθα καὶ τοῖς ἔργοις καὶ ταῖς διανοίαις, τῶν κατ᾽ ἐκεῖνον τὸν χρόνον γενομένων, ὅ- «
σον οἱ μέν, ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας. καὶ ἑξῆς· Οὕτως ὀλίγον αὐτῶν φροντίζομεν. ἓν γὰρ ἀ- «
κούσαντες, γνώσεσθε καὶ περὶ τῶν ἄλλων· ὡς θανάτου τῆς ζημίας ἐπικειμένης, ἤν τις ἁλῷ δεκά- «
ζων, τοὺς τοῦτο φανερώτατα ποιοῦντας, στρατηγοὺς χειροτονοῦμεν, καὶ τὸν πλείστους διαφθεῖραι δυ- «
νηθέντα τῶν πολιτῶν, τοῦτον ἐπὶ τὰ μέγιστα τῶν πραγμάτων καθίσταμεν. σπουδάζοντες δὲ περὶ «
τὴν πολιτείαν οὐχ ἧττον ἢ περὶ τὴν σωτηρίαν ὅλης τῆς πόλεως, καὶ τὴν δημοκρατίαν εἰδότες ἐν «
μὲν ταῖς ἡσυχίαις καὶ ταῖς ἀσφαλείαις αὐξανομένην καὶ διαμένουσαν, ἐν δὲ τοῖς πολέμοις δὶς «
ἤδη καταλυθεῖσαν, πρὸς μὲν τοὺς τῆς εἰρήνης ἐπιθυμοῦντας, ὡς πρὸς ὀλιγαρχικοὺς ὄντας, «

» δυσχόλως ἔχομθυ· τὰς γ᾽ τὸν πόλεμον ἀγαπῶντας, ὡς τ᾽ δημοκρατίας κηδομθύας, δῦνας ἐῆ) νο-
» μίζομθυ. ἐμπειρότατοι δὲ λόγων ϗ τοιαῦτ᾽ ὄντες, ὅτως ἠγούμεθα ἔχομθυ, ὥστε περὶ τ᾽ αὐ-
» τῶν τ᾽[αὐτῆς] ἡμέρας ἀ τοιαῦτα γνώσοιμθυ, ἀλλ᾽ ὧν πρὶν εἰς τὴν ἐκκλησίαν ἀναβῆναι, κατη-
» γορεῦμθυ, τοιαῦτα συνελθόντες χρεστοτέρθυ· ἀ πολιὼ γ᾽ χρόνον ἀφελοιπόντες, τοῖς [ἀντιδίκοις]
» ψηφιεῖσιν, ἐπειδὰν ἀπίωμθυ, πάλιν ὑπομιμῶμθυ. τοιοῦτοι γ᾽ ὑμῖν ἔσονται οἱ τοῦ Σατύρου ἀγω-
» λιῶνες ἐῆ), οἷσι τοῖς κυρίοις [τ᾽ κοινῶν]ἀπάντων καθίσαμθυ, οἷς οὐδεὶς ἀν᾽ τ᾽ ἰδίων οὐδὲν ὑπερέφε.

παράδειγμα ἐκ δικανικοῦ λόγου, τῆς δαπεζιτικῆς.

Τοιοῦτος μὲν δή τις ἐν τοῖς συμβολαιτικοῖς λόγοις ὁ ἀνήρ. ἐν δὲ τοῖς δικανικοῖς τὰ μὲν ἄλλα πάντα ἀκριβὴς καὶ ἀληθινός, καὶ τῶν Λεπτίνου κατηγορημάτων ἕνεκα μάλιστα ἐσπουδακὼς τὸν ἀγῶνα· ἐν ᾧ τὴν συνήθειαν τὴν ἐν τοῖς τοιούτοις ἀγῶσι νομιζομένην ἐκεῖνον καὶ δυσπειθῆ ἔχων, ἐλάττω μὲν ἢ ἐν ἄλλοις λόγοις, ἐμμελῆ δ᾽ οὐ πάνυ· ἀλλ᾽ ἔχων γε. μηδεὶς δ᾽ ἀγνοήσῃ τοῦτο λαβὼν μηδ᾽ ὅτι Ἀφαρέα, ὃν τοῦτον τὸν τρόπον ἐπῄνεσα τοῦ Ἰσοκράτους Ἰσοκράτει ἡμόλυμος, ἐν τῷ πρὸς Μεγακλείδην περὶ τῆς δωτίδοσεως λόγῳ, δῆλόν ἐστιν, μηδεμίαν τοῦτο τὸ παῖδας τοιοῦτοις εἰς δικαστήριον γεγράφθαι· μηδ᾽ ὅτι δέσμας πάνυ πολλὰς δικανικῶν λόγων Ἰσοκράτειον περιφέρεσθαί φησιν τοῦτο τῶν βιβλιοπωλῶν Αἰσχίνης. ὑπῆρχεν γὰρ τοῦτο τῶν ἀνδρῶν ἐκείνων λεγόμενα· καὶ ὅτε Αἰσχίνης πείθομεν ῥυπαίνειν τὸν ἄνδρα βλασφημίᾳ, ὅτ᾽ Ἀφαρῆ τύπτων γ᾽ ἕνεκα λόγων δωροδοκῆ πλατομθύᾳ σιτίθεμεν· ἱκανὸν γ᾽ ἦν ἀπόδειγμα τῆς δημοτείας βεβαιοῦν τὸν Ἀθηναῖον Κηφισόδωρον, ὃς καὶ συνεβίωσεν Ἰσοκράτει, καὶ γνησιώτατος ἀκροατὴς ἐγένετο, καὶ τ᾽ ἀπολογίαν τ᾽ πρὸς Καλλίμαχον ἐν τοῖς τοῦ Ἀεσχίνου λόγοις γραφεῖσαν ἐποίησε, πιστὸν γεγράφθαι λόγοις ὑμᾶς τοῦτο τὸν ἀνδρὸς εἰς δικαστήρια, ὃ μάλιστα πολλοί· καὶ χρῶμαι τοῦτο τεκμηρίῳ ἐξ αὐτῶν ἐνί· ὃ γὰρ ἐξηγοῦμαι πλείοσι. ὦ Τεισπετζιτικὸν λεγόμθυον, ὃν ἔγραψε ξένον ὑπὸ τῶν μαθητῶν κατ᾽ Ἰσοκράτους ὃ δαπεζίτης. ἔστι γ᾽ ὁ λόγος οὗτος· “Ὁ μὲν ἀγὼν μοι μέγας ἐστίν, ὦ ἄνδρες δικασταί. ἃ γὰρ μόνον περὶ πολλῶν χρημάτων κινδυνεύω, ἀλλὰ καὶ περὶ τοῦ μὴ δοκεῖν ἀδίκως τῶν δημοτείων ὑπομεῖναι· ὃ ἐγὼ περὶ πλείστου ποιοῦμαι. ὑπόσα γὰρ μοι ἐκτῆμαι καταλιφὼν ὁ πατὴρ τούτων ἐρημοῖ. εἰ δὲ δόξαιμι, μηδὲν πρᾶξαι, αὐτὰ τὰ χρήματα ἐκκαλέσαι, Δημοκλείδου αὐτὸν ἅπαντα βίον. ἔστι γ᾽, ὦ ἄνδρες δικασταί, πάντων χαλεπώτατον, ἐναντίων δημοτικῶν τυχεῖν. τὰ μὲν γὰρ συμβό-
